This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

600004641L

26.302

600004641L

26.302

600004641L

26.302

600004641L

26.302

ARISTOPHANIS

ECCLESIAZUSAE

EX RECENSIONE

GUILIELMI DINDORFII

LIPSIAE
LIBRARIA WEIDMANNIA
G. REIMER.

MDCCCXXVI.

302.

600004641L

26.302

ARISTOPHANIS

ECCLESIAZUSAE

EX RECENSIONE

GUILIELMI DINDORFII.

LIPSIAE
LIBRARIA WEIDMANNIA
G. REIMER.

MDCCCXXVI.

302.

BIBLIOTHECA BODLEIANA

PRAEFATIO.

Ecclesiazusis fabulae, quae ex corruptioribus est, exigua ab libris scriptis parata sunt praesidia. Ego codicibus praeter Ravennatem usus sum quattuor, quorum index hic est.

A membranaceus Parisinus 2712, bonae notae liber, quem aegre ferimus versu terminari 465, relicua parte abscissa. Saeculo quarto decimo scriptus esse visus est Hasio et Gaisfordio.

D chartaceus Parisinus 2715, usque ad v. 1170. pertinens, imperitissimis grammatici alicuius correctionibus refertus, quas docte exagitavit Reisigius praefatione ad Coniectan. I. p. VIII — XIII. Personarum notae in initiis versuum nullae sunt, in mediis versibus vacuo spatio indicatae. Huic libro quum totum se addixisset Brunckius, multos commisit errores, quos oblivioni quam memoriae tradi humanius esse duxi.

Laurentianus membranaceus plutei XV. 31. quem cum editione Kusteriana ab me rogatus contulit Franciscus de Furia, vir amicissimus. Huius libri ea indoles est ut inferior sit Ravennate, praestet ceteris. Desinit ipse quoque v. 1170.

Monacensis 137. chartaceus, saeculi quinti decimi. Eius lectiones, plerumque cum Aldinis consentientes, ab Riglero Monacensi ad se missas edidit Dobraeus in Appendice inde ab p. (76).

De editionibus veteribus solae memorabiles sunt, quippe ex libris scriptis ductae, Aldina Iuntinaeque prima et secunda, annis 1498. 1515. 1525. editae. Quarum Iuntinae primae, quae longe emendatior est Aldinâ Iuntinâque secundâ, tanta est in rebus plurimis cum codice Laurentiano consensio, ut non temere affirmare videar eo libro usum esse editorem Florentinum. Scribebam Lipsiae.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι, καὶ ἐκκλησιάσασαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι τοιαῦται. πώγωνας περιθέτους ποιοῦνται, καὶ ἀνδρείαν ἀναλαμβάνουσι στολήν, προνοήσασαι καὶ προασκήσασαι τὸ σῶμα αὐτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι. μία δὲ ἐξ αὐτῶν Ηραξαγόρα λύχνον ἔχουσα προέρχεται κατὰ τὰς συνθήκας, καὶ φησὶν Ὦ λαμπρὸν ὄμμα.

Ἀριστοφάνους γραμματικοῦ.

Ἐν τοῖς Σκίροις τὰ γύναι ἔκρινεν ἐν στολαῖς
ἀνέρων προκαθίζοντα, γενομένης ἐκκλησίας,
περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.
ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
ἄνδρες γυναικῶν ἐκάθισαν· καὶ δὴ μία
δημηγορεῖ περὶ τοῦ λαβούσας τῶν ὅλων
τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίῳ·
ἐκέλευσέ τ᾽ εἰς κοινὸν φέρειν τὰ χρήματα
καὶ χρῆσθ᾽ ἅπασιν ἐξ ἴσου ταῖς οὐσίαις
καὶ ταῖς γυναιξὶ μετατίθεσθαι τοὺς νόμους.

Versus 8—10. restitui ex Laur. et Monac. χρῆσθαι in χρῆσθ᾽ mutato. Qui quum in Aldina et Iuntina secunda (nam prima ὑποθέσεσι caret) sic essent mutilati ἐκέλευσέ τ᾽ εἰς τὸ κοινὸν φέρειν τὰ χρήματα καὶ χρῆσθαι τοὺς νόμους, Portus haec de suo dedit, ἐκέλευσέ τ᾽ εἰς τὸ κοινὸν εἰσφέρειν ὅλα | τὰ χρήματ᾽ ἄνδρας, ὡς κεκρῖσθαι τοῖς νόμοις, secutis Kustero et Brunckio.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΠΡΑΞΑΓΟΡΑ.

ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.

ΧΟΡΟΣ.

ΒΔΕΠΤΡΟΣ, ἀνὴρ Πραξαγόρας.

ΑΝΗΡ ΤΙΣ.

ΧΡΕΜΗΣ.

Ο ΚΑΤΑΘΕΙΣ.

Ο ΜΗ ΚΑΤΑΘΕΙΣ.

ΚΗΡΥΞ.

ΓΡΑΕΣ ΤΙΝΕΣ.

ΝΕΑΝΙΣ.

ΝΕΑΝΙΑΣ.

ΘΕΡΑΠΑΙΝΑ.

ΔΕΣΠΟΤΗΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΠΡΑΞΑΓΟΡΑ. ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ. ΧΟΡΟΣ.

ΠΡΑΞΑΓΟΡΑ.

Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου
κάλλιστ' ἐν εὐσκόποισιν ἐξηρτημένον,
γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν·
τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο
μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις·
ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
σοὶ γὰρ μόνῳ δηλοῦμεν, εἰκότως, ἐπεὶ
κἂν τοῖσι δωματίοισιν Ἀφροδίτης τρόπων
πειρωμέναισι πλησίον παραστατεῖς,
λορδουμένων τε σωμάτων ἐπιστάτην
ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων·
μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
λάμπεις, ἀφεὶς τὴν ἐπανθοῦσαν τρίχα·

VARIETAS LECTIONIS.

V. 2. *εὐστόχοισιν* Ravennas. *ἐξηρτημένον* Palmerius: libri *ἐξηρτημένον*. *ἐξησκημένον* Scaligeri excerpta.

V. 3. *σὰς*] *δισσὰς* AD, Laur.

V. 8. *τοῖσι* Aldina. *τοῖς* Laur. Iunt. prima. *τοῖσιν* Iunt. secunda. *τρόπων*] *τρόπῳ* AD, Laur. Iunt. prima.

V. 9. *πλησίως* Ravennas. *πλησίος* Laur. Monac. *πλεισίος* Iunt. prima.

V. 10. *λορδουμένων* libri scripti omnes et Suidas in h. v.. *χορδουμένων* Ald. et Iuntinae.

V. 11. *δόμῳ* Laur.

V. 13. *λάμπεις καὶ* Iunt. secunda. *ἀφεὶν* AD, Ravennas,

600004641L

26.302

ARISTOPHANIS

ECCLESIAZUSAE

EX RECENSIONE

GUILIELMI DINDORFII.

LIPSIAE
LIBRARIA WEIDMANNIA
G. REIMER.

MDCCCXXVI.

302.

Ἀγύρριος γοῦν τὸν Προνόμου πώγων' ἔχων
λέληθε· καίτοι πρότερον ἦν οὗτος γυνή·
νυνὶ δ' ὁρᾷς πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.
τούτου γέ τοι νὴ τὴν ἐπιοῦσαν ἡμέραν
τόλμημα τολμῶμεν τοσοῦτον οὕνεκα,
ἵν' πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα
δυνώμεθ', ὡς' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν·
νῦν μὲν γὰρ οὔτε θέρομεν οὔτ' ἐλαύνομεν.

ΓΥΝΗ Η.

καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία
δημηγορήσει;

ΠΡΑΞΑΓΟΡΑ.

πολὺ μὲν οὖν ἄριστά που.
λέγουσι γὰρ καὶ τῶν νεανίσκων ὅσοι
πλεῖστα σποδοῦνται δεινοτάτους εἶναι λέγειν·
ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.

ΓΥΝΗ Η.

οὐκ οἶδα· δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία.

ΠΡΑΞΑΓΟΡΑ.

οὐκοῦν ἐπίτηδες ξυνελέχημεν ἐνθάδε,
ὅπως προμελετήσαιμεν ἀκεῖ δεῖ λέγειν.

V. 102. Suidas in Ἀγύρριος et Πρόνομος. Ἀγύρριος] ἀργίριος D.

V. 103. λέληθε] ἐλάνθανε Suidas in Πρόνομος. καίτοι πρότερον] πρότερον καίτοι Laur.

V. 104. τὰ om. Monac.

V. 106. τοσοῦτον οὕνεκα AD et Laur.: quae scholiastae lectio fuisse videtur. τοσούτου γ', οὕνεκα Ald. et Iunt. secunda. τοσοῦτον γ', οὕνεκα Iunt. prima. In Scaligeri excerptis τοσοῦτογ' annotatum.

V. 109. Suidas in θεῖ.

V. 110. ξυνουσία AD, Ravenn. Laur. et Iunt. prima. ἐξουσία Monac. Ald. Iunt. secunda.

V. 112. ὅσοι] ἅπο Laur. ὅσα Monac.

V. 113. πλεῖστα] πλεῖσταις Laur.

V. 115. δ' om. AD, Laur. et Suidas in ἡ μὴ 'μπειρία.

V. 116. Suidas in ἐπίτηδες.

V. 117. Libri προμελετήσωμεν. Correctum ab Kiddio ad Dawes. p. 137.

PRAEFATIO.

Ecclesiazusis fabulae, quae ex corruptioribus est, exigua ab libris scriptis parata sunt praesidia. Ego codicibus praeter Ravennatem usus sum quattuor, quorum index hic est.

A membranaceus Parisinus 2712, bonae notae liber, quem aegre ferimus versu terminari 465, relicua parte abscissa. Saeculo quarto decimo scriptus esse visus est Hasio et Gaisfordio.

D chartaceus Parisinus 2715, usque ad v. 1170. pertinens, imperitissimis grammatici alicuius correctionibus refertus, quas docte exagitavit Reisigius praefatione ad Coniectan. I. p. VIII — XIII. Personarum notae in initiis versuum nullae sunt, in mediis versibus vacuo spatio indicatae. Huic libro quum totum se addixisset Brunckius, multos commisit errores, quos oblivioni quam memoriae tradi humanius esse duxi.

ΓΥΝΗ Ι.

ὦ νὴ τὸν Ἀπόλλω.

ΠΡΑΞΑΓΟΡΑ.

παῦε τοίνυν, ὡς ἐγὼ
ἐκκλησιάσουσ' οὐκ ἂν προβαίην τὸν πόδα
τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται.

ΓΥΝΗ Ι.

φέρε τὸν στέφανον· ἐγὼ γὰρ αὖ λέξω πάλιν.
οἶμαι γὰρ ἤδη μεμελετηκέναι καλῶς.
ἐμοὶ γάρ, ὦ γυναῖκες αἱ καθήμεναι,

ΠΡΑΞΑΓΟΡΑ.

γυναῖκας αὖ, δύστηνε, τοὺς ἄνδρας λέγεις;

ΓΥΝΗ Ι.

δι' Ἐπίχρονόν γ' ἐκεινονί· βλέψασα γὰρ
ἐκεῖσε πρὸς γυναῖκας ᾠόμην λέγειν.

ΠΡΑΞΑΓΟΡΑ.

ἄπερρε καὶ σὺ καὶ κάθησ' ἐντευθενί.
αὐτὴ γὰρ ὑμῶν ἕνεκά μοι λέξειν δοκῶ,
τονδὶ λαβοῦσα· τοῖς θεοῖς μὲν εὔχομαι
τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.

V. 160. ὦ AD. Scribebatur ὦ. Ἀπόλλω] ἀπόλλωνο Laur.

V. 161. ἐκκλησιάσουσ' Bentleius et Kusterus. Libri ἐκκλησιάζουσ'. οὐκ ἂν] οὐδ' ἐν Suidas in ἀκριβωθήσεται.

V. 162. ταῦτ' Ravennas, Laur. et Suidas. Legebatur τοῦτ'.

V. 163. ἡ προτέρα γυνὴ adscriptum in Ravenn.

V. 166. ὦ δύστηνε Laur.

V. 167. δι' ἐπίγονον AD et Laur. μὰ δι' ἐπίγονόν edd. ante Brunckium. ἐκεινονί· βλέψασα Elmsleius ad Acharn. p. 73. ed. Lips. ἐκεῖνον. εἴ τι βλέψασα Ald. Iunt. prima et Monac. ἐκεῖνον. ἐπιβλέψασα Iuntina secunda et recentiores omnes.

V. 169. ἔπερρε Laur. κάθησ' Iuntina secunda. κάθησθ' AD, Laur. Monac. Ald. Iunt. prima.

V. 170. ὑμῶν Ravennas. Legebatur ὑμῶν γ'.

V. 172. κατορθώσας τὰ Laur.

ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα
ὅσον περ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω
τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς· κἂν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται.
ἐπέτρεψας ἑτέρῳ· πλείον' ἔτι δράσει κακά.
χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,
οἳ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε,
τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε.
ἐκκλησίαισιν ἣν ὅτ' οὐκ ἐχρώμεθα
οὐδὲν τὸ παράπαν· ἀλλὰ τὸν γ' Ἀγύρριον
πονηρὸν ἡγούμεσθα· νῦν δὲ χρωμένων
ὁ μὲν λαβὼν ἀργύριον ὑπερεπήνεσεν,
ὁ δ' οὐ λαβὼν εἶναι θανάτου φησ' ἀξίους
τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τῇ ἐκκλησίᾳ.

ΓΥΝΗ Α.

νὴ τὴν Ἀφροδίτην, εὖ γε ταυταγὶ λέγεις.

ΠΡΑΞΑΓΟΡΑ.

τάλαιν', Ἀφροδίτην ὠνόμασας. χαρίεντά τἂν
ἔδρασας, εἰ τοῦτ' εἶπας ἐν τῇ ἐκκλησίᾳ.

V. 173.—175. Suidas in *μέτα*: 173.—178. idem in *προστάτης*.

V. 174. *παρ'* Monac.

V. 175. *βαρέως τὰ τῆς πόλεως πράγματα* Suidas in *προστάτης*. *πράγματα βαρέως* AD, Laur.

V. 180.—182. Suidas in *δυσαρεστούμενος*.

V. 180. *δυσαρέτους* Monac. et Ald. *δυσαρέστους* Iuntinae.

V. 181. 182. Suidas in *ἑκάστοτε*.

V. 181. *οἳ*] *εἰ* Suidas in *δυσαρεστούμενος*. *φιλεῖν μὲν* Kusterus ex Suida in *δυσαρεστούμενος*. Aberat *μὲν*. *μὲν φιλεῖν* Suidas in *ἑκάστοτε*.

V. 182. *ἀντιβολεῖσθ'* Suidas utroque loco.

V. 185. *ἡγούμεθα* Laur.

V. 188. *μισθοφορεῖν ζητοῦντας* Ald. et Iuntina secunda. *μισθοφοροῦντας* Laur. et Iuntina prima.

V. 189. *ταυτασὶ* Monac.

V. 190. *γ' ὠνόμασας* Laur. Scribebatur *χαρίεντά γ' ἄν*.

V. 191. *εἶπες* Brunckius.

ΓΥΝΗ Α.

ἀλλ' οὐκ ἂν εἶπον.

ΠΡΑΞΑΓΟΡΑ.

μηδ' ἐθίζου νῦν λέγειν.
τὸ συμμαχικὸν δ' αὖ τοῦτ', ὅτ' ἐσκεπούμεθα,
εἰ μὴ γένοιτ', ἀπολεῖν ἔφασκον τὴν πόλιν·
ὅτε δὴ δ' ἐγένετ', ἦχθοντο· τῶν δὲ ῥητόρων
ὁ τοῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
ναῦς δὴ καθέλκειν τῷ πένητι μὲν δοκεῖ,
τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.
Κορινθίοις ἄχθεσθε· κἀκεῖνοί γέ σοι
νῦν εἰσι χρηστοί, καὶ σὺ νῦν χρηστὸς γενοῦ.
Ἀργεῖος ἀμαθής, ἀλλ' Ἱερώνυμος σοφός·
σωτηρία παρέκυψεν, ἀλλ' ὁρίζεται
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.

ΓΥΝΗ Α.

ὡς ξυνετὸς ἀνήρ.

ΠΡΑΞΑΓΟΡΑ.

νῦν καλῶς ἐπῄνεσας.
ὑμεῖς γάρ ἐστ' ὦ δῆμε τούτων αἴτιοι.
τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα

V. 192. εἶπον AD et Laur. εἶπω edd. ante Brunckium.

V. 193. Addidi δ'.

V. 195. δὴ δ' AD et Laur. δή γ' Ravennas et edd. ante Brunckium. τῶν ῥητόρων Laur.

V. 196. τοῦτ' Ravennas. Legebatur ταῦτ'.

V. 197. μέν σοι δοκεῖ Laur.

V. 198. καὶ om. Laur.

V. 199. ἦχθεσθε Reiskius.

V. 200. γενοῦ χρηστὸς Laur.

V. 202. ἀλλ' ὁρίζεται Ravennas, Laur. Ald. Iuntina secunda. ἀλλ' οὐχ ὁρίζεται A et Iuntina prima. ἀλλ' οὐ χρήζετε D.

V. 205. γὰρ Bothius. Legebatur γ' ἄρ'.

V. 206.—208. Stobaeus Serm. X. 9. vol. I. p. 288. Gaisf.: 207. 208. Suidas in Αἴσιμος.

V. 206. οἱ δημόσια *Vet.* in Scaligeri excerptis.

ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ τί τις κερδανεῖ·
τὸ δὲ κοινὸν ὥςπερ Αἴσιμος κυλίνδεται.
ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι.
ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
ἡμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις
ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.

ΓΥΝΗ Β.

εὖ γ' εὖ γε νὴ Δί', εὖ γε· λέγε λέγ' ὡγαθέ.

ΠΡΑΞΑΓΟΡΑ.

ὡς δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
ἀπαξάπασαι, κοὐχὶ μεταπειρωμένας
ἴδοις ἂν αὐτάς. ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
εἰ μή τι καινὸν ἄλλο περιεργάζετο;
καθήμεναι φρύγουσιν ὥςπερ καὶ πρὸ τοῦ·
ἐπὶ τῆς κεφαλῆς φέρουσιν ὥςπερ καὶ πρὸ τοῦ·
τὰ Θεσμοφόρι' ἄγουσιν ὥςπερ καὶ πρὸ τοῦ·
πέττουσι τοὺς πλακοῦντας ὥςπερ καὶ πρὸ τοῦ·
τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥςπερ καὶ πρὸ τοῦ·
μοιχοὺς ἔχουσιν ἔνδον ὥςπερ καὶ πρὸ τοῦ·
αὐταῖς παροψωνοῦσιν ὥςπερ καὶ πρὸ τοῦ·

V. 207. σκοπεῖς AD et Laur. ὅτι τί AD et Laur. κερδανεῖς A.

V. 209. πείθεσθε Monac. πέπεισθε Suidas in Ἔτι, ubi Ms. Oxon. πέπεισοι.

V. 211. ἡμᾶς AD et Iuntina prima: ceterae ὑμᾶς.

V. 212. ταμίαις Laur.

V. 215. μὲν γὰρ τἄρια] μιτάρια Suidas in βάπτουσι; ubi MS. Oxon. μὴ τἄρια.

V. 218.—220. Suidas in χρηστῶς.

V. 219. οὐκ ἐσῴζετ' ἂν Elmsleius.

V. 220. καινὸν] κακὸν Laur.

Versus 221. accessit ex Ravennate.

V. 227. αὐταῖς] Scribebatur αὐταῖς. Brunckius male αὐτοῖς, μοιχοὺς intelligens.

ΠΡΑΞΑΓΟΡΑ.

προσκινήσομαι,
ἀτ' οὐκ ἄπειρος οὖσα πολλῶν πραγμάτων.

ΓΥΝΗ Α.

ἐκεῖνο μόνον ἄσκεπτον, ἢν σ' οἱ τοξόται
ἕλκωσιν; ὅ τι δράσεις ποτ';

ΠΡΑΞΑΓΟΡΑ.

ἐξαγκωνιῶ
ὠδί· μέση γὰρ οὐδέποτέ ληφθήσομαι.

ΓΥΝΗ Α.

ἡμεῖς δέ γ', ἢν αἴρωσ', ἐὰν κελεύσομεν.

ΓΥΝΗ Β.

ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς·
ἐκεῖνο δ' οὐ πεφροντίκαμέν, ὅτῳ τρόπῳ
τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
εἰθισμέναι γάρ ἐσμεν ἄρειν τὼ σκέλη.

ΠΡΑΞΑΓΟΡΑ.

χαλεπὸν τὸ πρᾶγμ'· ὅμως δὲ χειροτονητέον
ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
ἄγε νυν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια·
ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικάς,
ὥσπερ τὸν ἄνδρα θεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
μέλλει βαδίζειν ἢ θύρας ἐκάστοτε.
ἔπειτ' ἐπειδὰν ταῦτα πάνθ' ἥκῃ καλῶς,
περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε

V. 259. ἢν σ' οἱ Ravennas. ἤν σοι Monac. et edd. ante Portum, qui ἤν σε dedit, ab Kustero et Brunckio servatum.

V. 266. τὼ Ravennas, Laur. et Iuntina prima: τᾷ Aldina et Iuntina secunda cum ceteris.

V. 267. ὅμως χειρ. δὲ Laur.

V. 268. ἐξωμιάσαις Laur. et Iuntina prima.

V. 271. ἄνδρ' ἐθεᾶσθ' Ravennas et Iuntina prima et, ut opinor, Laur.

V. 272. μέλλει Schaeferus Meletem. p. 88. Legebatur μέλλοι. μέλοι Laur.

ΓΥΝΗ Α.

οὐκ ἐτὸς ἄρ' ὦ μέλ' ἦσθα δεινὴ καὶ σοφή·
καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν
αἱρούμεθ', ἢν ταῦθ' ἁπλοεῖς κατεργάσῃ.
ἀτὰρ ἦν Κέφαλός σοι λοιδορῆται προσφθαρείς,
πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τῇ ἐκκλησίᾳ;

ΠΡΑΞΑΓΟΡΑ.

φήσω παραφρονεῖν αὐτόν.

ΓΥΝΗ Α.

ἀλλὰ τοῦτό γε
ἴσασι πάντες.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλὰ καὶ μελαγχολᾶν.

ΓΥΝΗ Α.

καὶ τοῦτ' ἴσασιν.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλὰ καὶ τὰ τρυβλία
κακῶς κεραμεύειν, τὴν δὲ πόλιν εὖ καὶ καλῶς.

ΓΥΝΗ Α.

τί δ', ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;

ΠΡΑΞΑΓΟΡΑ.

τούτῳ μὲν εἶπον εἰς κυνὸς πυγὴν ὁρᾶν.

ΓΥΝΗ Α.

τί δ', ἢν ὑποκρούωσίν σε;

V. 247. στρατηγὸν Ravennas cum Aldina et Iuntina secunda. στρατηγεῖν AD, Laur. et Iuntina prima.

V. 251. ἀλλὰ καὶ τοῦτον γε Laur.

V. 254. εὖ καὶ om. Ravennas.

V. 255. λοιδορεῖ Laur. et Suidas in γλάμων.

V. 256. Scholiastes ad Acharn. v. 863. et Suidas in τούτῳ μέν. εἶπον] εἶπε Suidas. εἶποιμ' D, ex quo Brunckius ἂν εἶποιμ' fecit. εἶπον tuetur schol. ad Acharn. πρωκτὸν κυνὸς βλέπε schol. ad Acharn.

V. 257. 258. Suidas in ὑποκρούσωσι.

V. 257. ὑποκρούωσι Suidas. Legebatur ὑποκρούσωσι.

ΠΡΑΞΑΓΟΡΑ.

προσκινήσομαι,
ἄτ' οὐκ ἄπειρος οὖσα πολλῶν πρυτανέων.

ΓΥΝΗ Α.

ἐκεῖνο μόνον ἄσκεπτον, ἢν σ' οἱ τοξόται
ἕλκωσιν; ὅ τι δράσεις ποτ';

ΠΡΑΞΑΓΟΡΑ.

ἐξαγκωνιῶ
ὠδί· μέση γὰρ οὐδέποτέ μ' ληφθήσομαι.

ΓΥΝΗ Α.

ἡμεῖς δέ γ', ἢν αἴρωσ', ἐὰν κελεύσομεν.

ΓΥΝΗ Β.

ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς·
ἐκεῖνο δ' οὐ πεφροντίκαμεν, ὅτῳ τρόπῳ
τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
εἰθισμέναι γάρ ἐσμεν αἴρειν τὼ σκέλη.

ΠΡΑΞΑΓΟΡΑ.

χαλεπὸν τὸ πρᾶγμ'· ὅμως δὲ χειροτονητέον
ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
ἄγε νυν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια·
ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικάς,
ὥσπερ τὸν ἄνδρα θεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
μέλλει βαδίζειν ἢ θύρασ' ἑκάστοτε.
ἔπειτ' ἐπειδὰν ταῦτα πάνθ' ᾖ καλῶς,
περιδεῖσθε τοὺς πώγωνας, ἡνίκ' ἂν δέ γε

V. 259. ἢν σ' οἱ Ravennas. ἢν σοι Monac. et edd. ante Portum, qui ἢν σε dedit, ab Kustero et Brunckio servatum.

V. 266. τὼ Ravennas, Laur. et Iuntina prima: τᾷ Aldina et Iuntina secunda cum ceteris.

V. 267. ὅμως χειρ. δὲ Laur.

V. 268. ἐξωμιάσαις Laur. et Iuntina prima.

V. 271. ἄνδρ' ἐθεῦσθ' Ravennas et Iuntina prima et; ut opinor, Laur.

V. 272. μέλλει Schaeferus Meletem. p. 88. Legebatur μέλλοι. μείλοι Laur.

ὅπως δὲ τὸ σύμβολον
λαβόντες ἔπειτα πλη-
σίον καθεδούμεθ', ὡς
ἂν χειροτονῶμεν
ἅπανθ' ὁπόσ' ἂν δέῃ
τὰς ἡμετέρας φίλας.
καίτοι τί λέγω; φίλους
γὰρ χρῆν μ' ὀνομάζειν.
ὅρα δ' ὅπως ὠθήσομεν τουσδε τοὺς ἐξ ἄστεως
ἥκοντας, ὅσοι πρὸ τοῦ
μὲν, ἡνίκ' ἔδει λαβεῖν
ἐλθόντ' ὀβολὸν μόνον,
καθῆντο λαλοῦντες
ἐν τοῖς στεφανώμασιν,
νῦνὶ δ' ἐνοχλοῦσ' ἄγαν.
ἀλλ' οὐχὶ, Μυρωνίδης
ὅτ' ἦρχεν ὁ γεννάδας,
οὐδεὶς ἂν ἐτόλμα
τὰ τῆς πόλεως διοι-
κεῖν ἀργύριον λαβών·

V. 304. *πλησίον* Brunckius. *πλησίοι* Ravennas, Ald. Iuntina secunda et Suidas in *συμβόλαιον*. *πληθίοι* Monac. *πλησία* A, Laur. et Iuntina prima.

V. 305. *καθεδοῦμεν* AD, Laur.

V. 307. *ὅπως ἄν δέῃ* AD.

V. 310. *μ'* excidit ex Kusteri editione.

V. 311. In A praefixum *χορὸς ἕτερος*, in Monac. *ἕτερος χορός*. *ὠθήσομεν* A, Ravennas, Laur. *ὀνήσομεν* D. *ὠθήσομαι* edd. ante Brunckium. *ἐξ ἄστεως*] *ξένους* AD, Laur. *ἄστεως*] *ἄστεος* Brunckius.

V. 313. *ἔδει λαβεῖν ἐλθόντ'* Dawesius p. 542. *ἐλθόντ'* (*ἐλθόντας* AD, Ravennas. *ἐλθόντες* Laur.) *ἔδει λαβεῖν* edd. ante Brunckium.

V. 315. *καθῆντο*] Libri *κάθηντο*. *λαλοῦντες*] *λαλοῦσαι* AD, Laur. Iuntina prima.

Versus 316. accessit ex Ravennate.

V. 319. *γενάδας* edd. ante Kusterum.

V. 322. *λαβὼν* Brunckius. Libri *φέρων*.

μεμνημένας ἀεὶ λέγειν, ὡς μή ποτ' ἐξολίσθῃ,
ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς, ἢν ἅλῶμεν
ἐνδυόμεναι κατὰ σκότον τόλμημα τηλικοῦτον.
χωρῶμεν εἰς ἐκκλησίαν ὦνδρες· ἠπείλησε γάρ
ὁ θεσμοθέτης, ὃς ἂν
μὴ πρῳ πάνυ τοῦ κνέφους
ἥκῃ κεκονιμένος,
στέργων σκοροδάλμῃ,
βλέπων ὑπότριμμα, μὴ
δώσειν τὸ τριώβολον.
ἀλλ' ὦ Χαριτιμίδη
καὶ Σμίκυθε καὶ Δράκης
ἕπου κατεπείγων,
σεαυτῷ προσέχων ὅπως
μηδὲν παραχορδιεῖς
ὧν δεῖ σ' ἀποδεῖξαι·

V. 287. ὡς μὴ] καὶ μὴ Elmsleius in Museo critico IV. p. 483. μὴ καὶ Dobraeus in Addendis ad Aristoph. p. (145).

V. 288. ὁ γὰρ κίνδυνος Suidas.

V. 289. ἐνδυόμεναι Faber. Libri ἐνδούμεναι.

V. 290. — 310. = 311. — 331.

V. 290. ὦδρ' ἐπείλησε Laur.

V. 291. ὃς AD, Ravennas et Suidas in κεκονιαμένος, ὡς Monac. Aldina et Iuntinae.

V. 293. κεκονιμένος AD. κεκονισμένος Ravennas, Ald. Iuntinae. κεκονιαμένος Suidas.

V. 294. 295. Legebatur βλέπων ὑπότριμμα, στέργων σκοροδάλμῃ consentiente Suida in ὑπότριμμα. Transposuit Porsonus.

V. 296. τὸ add. AD, Laur. Ravennas: om. edd. ante Brunckium.

V. 297. ἀλλ'] σὺ δ' Porsonus. Χαριτιμίδη Bentleius. et Brunckius. Libri et edd. ante Brunckium vel χάριτι μία ἤ vel χάρι τιμία ἤ.

V. 298. δράκης AD et Laur. δράκη edd. ante Brunckium.

V. 299. Suidas in ἕπου.

V. 300. — 302. Suidas in παραχορδιεῖς.

V. 300. σαυτῷ libri scripti, Iuntina prima et Suidas. σαυτὸν ad κατεπείγων relatum Aldina et Iuntina secunda.

V. 301. παραχορδιεῖς D et Suidas. παραχορδιῇς edd. ante Brunckium.

ΒΛΕΠΥΡΟΣ. ΑΝΗΡ ΤΙΣ. ΧΡΕΜΗΣ. ΧΟΡΟΣ. ΠΡΑΞΑΓΟΡΑ.

ΒΛΕΠΥΡΟΣ.

Τί τὸ πρᾶγμα; ποῦ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι;
ἐπεὶ πρὸς ἕω νῦν γ' ἔστιν· ἡ δ' οὐ φαίνεται.
ἐγὼ δὲ κατάκειμαι πάλαι χεζητιῶν,
τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ
καὶ θοἰμάτιον· ὅτε δὴ δ' ἐκεῖνο ψηλαφῶν
οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν
ἐπεῖχε κρούων, ὦ κοπραῖος, λαμβάνω
τουτὶ τὸ τῆς γυναικὸς ἡμιδιπλοίδιον,
καὶ τὰς ἐκείνης Περσικὰς ὑφέλκομαι.
ἀλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι;
ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ;
οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.
οἶμαι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην
γυναῖχ'· ὅσας εἶμ' ἄξιος πληγὰς λαβεῖν.
οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν
δράσουσ'. ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.

ΑΝΗΡ.

τίς ἐστιν; οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν;
νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος. εἰπέ μοι,

V. 336. ὅτε δὴ δ' A. ὅτε δῆτ' D. ὅτε δ' ἤδ' add. ante Brunckium.

V. 338. κοπραῖος AD, Laur. et Iuntina prima.

V. 340. ἐφέλκομαι A. ἀφέλκομαι Laur. ἀφελάμην D.

V. 343. οὐδεὶς χέζοντί γ' οὐδεὶς Laur.

V. 344. ὅτε Laur.

V. 345. νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος Blepyro tribuunt edd. ante Brunckium. Correctum ex A.

τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; οὔ τί που
Κινησίας σου κατατετίληκέν ποθεν;

ΒΛΕΠΥΡΟΣ.

οὔκ, ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα
τὸ χροκωτίδιον ἀμπισχόμενος, οὐνδύεται.

ΑΝΗΡ.

τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν;

ΒΛΕΠΥΡΟΣ.

οὐκ ἔχω φράσαι.
ζητῶν γὰρ αὖτ' οὐχ εὗρον ἐν τοῖς στρώμασιν.

ΑΝΗΡ.

εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι;

ΒΛΕΠΥΡΟΣ.

μὰ τὸν Δί', οὐ γὰρ ἔνδον οὖσα τυγχάνει.
ἀλλ' ἐπετρύπησεν λαθοῦσά μ' ἔνθοθεν
ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.

ΑΝΗΡ.

νὴ τὸν Ποσειδῶ, ταὐτὰ τοίνυν ἄντικρυς
ἐμοὶ πέπονθας. καὶ γὰρ ἡ ξύνειμ' ἐγὼ
φρούδη 'στ' ἔχουσα θοἰμάτιον οὐγὼ 'φόρουν,
κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας·
οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.

ΒΛΕΠΥΡΟΣ.

μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
Λακωνικάς· ἀλλ' ὡς ἔτυχον ζητῶν,

V. 350. Suidas in τί τοῦτο.

V. 351. *πόθεν*; Blepyro tribuunt libri. Correxit Brunckius.

V. 353. *κροκωτίδιον* Arnaldus in Animadv. crit. p. 252. et Brunckius. *κροκώτιον* Portus, Kusterus et Ravennas. *κροκώπιον* AD, Laur. Monac. Aldina et Iuntinae. *ἀμπεχόμενος* Laur. *ὀὐνδύεται* libri scripti et Iuntina prima. *ὃ 'νδύεται* Aldina et Iuntina secunda.

V. 354. *σοι* Laur.

V. 356. *ἐκέλευσε* Monac.

V. 363. *κοὐ τοῦτό πω λυπεῖ* Laur. Monac. et edd. ante Portum, qui primus *πω* delevit. Tacet Brunckius.

V. 366. *λακωνικῶς* Laur. *ἔτυχον* primum editum in Iuntina secunda: Aldina et Iuntina prima et Monac. *ἔτυχε*.

ΒΛΕΠΥΡΟΣ. ΑΝΗΡ ΤΙΣ. ΧΡΕΜΗΣ. ΧΟΡΟΣ.
ΠΡΑΞΑΓΟΡΑ.

ΒΛΕΠΥΡΟΣ.

Τί τὸ πρᾶγμα; ποῖ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι;
ἐπεὶ πρὸς ἕω νῦν γ' ἔστιν· ἡ δ' οὐ φαίνεται.
ἐγὼ δὲ κατάκειμαι πάλαι ζητῶν,
τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ
καὶ θοἰμάτιον· ὅτε δὴ δ' ἐκεῖνο ψηλαφῶν
οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν
ἐπεῖχε κρούων, ὁ κοπραῖος, λαμβάνω
τουτὶ τὸ τῆς γυναικὸς ἡμιδιπλοίδιον,
καὶ τὰς ἐκείνης Περσικὰς ὑφέλκομαι.
ἀλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι;
ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ;
οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.
οἶμαι μακροδαίμων, ὅτι γέρων ὢν ἠγόμην
γυναῖχ'· ὅσας εἶμ' ἄξιος πληγὰς λαβεῖν.
οὐ χάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν
δράσουσ'. ὅμως δ' οὖν ἔστιν ἀποπατητέον.

ΑΝΗΡ.

τίς ἐστιν; οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν;
νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος. εἰπέ μοι,

V. 336. ὅτε δὴ δ' A. ὅτε δῆτ' D. ὅτε δ' ἤδη' edd. ante Brunckium.

V. 338. κοπραῖος AD, Laur. et Iuntina prima.

V. 340. ἐφέλκομαι A. ἀφέλκομαι Laur. ἐφελόμην D.

V. 343. οὐδεὶς χέζοντά γ' οὐδεὶς Laur.

V. 344. ὅτε Laur.

V. 349. νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος Blepyro tribuunt edd. ante Brunckium. Correctum ex A.

νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅςτις ποτ᾽ ἔστ᾽ ἄνθρωπος, ἀχραδούσιος.
τίς ἂν οὖν ἰατρόν μοι μετέλθοι καὶ τίνα;
τίς τῶν καταπρώκτων δεινός ἐστι τὴν τέχνην;
ἆρ᾽ οἶδ᾽ Ἀμύνων; ἀλλ᾽ ἴσως ἀρνήσεται.
Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων
οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.
ὦ πότνι᾽ Εἰλείθυια, μή με περιίδῃς
διαρραγέντα μηδὲ βεβαλανωμένον,
ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

ΧΡΕΜΗΣ.

οὗτος, τί ποιεῖς; οὔ τί που χέζεις;

ΒΛΕΠΥΡΟΣ.

ἐγώ;
οὐ δῆτ᾽ ἔτι γε μὰ τὸν Δί᾽, ἀλλ᾽ ἀνίσταμαι.

ΧΡΕΜΗΣ.

τὸ τῆς γυναικὸς δ᾽ ἀμπέχει χιτώνιον.

ΒΛΕΠΥΡΟΣ.

ἐν τῷ σκότῳ γὰρ τοῦτ᾽ ἔτυχον ἔνδον λαβών.
ἀτὰρ πόθεν ἥκεις ἐτεόν;

ΧΡΕΜΗΣ.

ἐξ ἐκκλησίας.

V. 383. ἐστὶν Laur. Libri ἀχραδούσιος.

V. 385. καταπρώκτων] κατὰ πρωκτῶν A. κατὰ πρωκτὸν D.

V. 387.—391. Suidas in πρωκτός; v. 387.—389. idem in χεζητιῶν.

V. 387. ἀντισθένη D et Suidas. ἀντισθένην editiones ante Brunckium et MS. Oxon. Suidae in χεζητιῶν.

V. 388. Libri ἀνὴρ.

V. 391. Suidas in βεβαλανωμένον.

V. 394. ἔτι γε] ἔγνως Laur. et Iuntina prima.

V. 395. τὸ] τί D. δ᾽ om. AD. ἀμπέχῃ A. χιτώνιον Iuntina secunda. τριβώνιον AD, Laur. Monac. Aldina et Iuntina prima.

ΒΛΕΠΥΡΟΣ.

ἤδη λέλυται γάρ;

ΧΡΕΜΗΣ.

νὴ Δί', ὄρθριον μὲν οὖν.
καὶ δῆτα πολὺν ἡ μάλκος, ὦ Ζεῦ φίλτατε,
γέλων παρέσχεν, ἣν προσέρραινον κύκλῳ.

ΒΛΕΠΥΡΟΣ.

τὸ τριώβολον δῆτ' ἔλαβες;

ΧΡΕΜΗΣ.

εἰ γὰρ ὤφελον.
ἀλλ' ὕστερος ἦλθον νὴ Δί', ὥστ' αἰσχύνομαι
ἔχων μὰ Δί' οὐδὲν ἄλλο γ' ἢ τὸν θύλακον.

ΒΛΕΠΥΡΟΣ.

τὸ δ' αἴτιον τί;

ΧΡΕΜΗΣ.

πλεῖστος ἀνθρώπων ὄχλος,
ὅσος οὐδεπώποτ', ἦλθ' ἀθρόος εἰς τὴν πύκνα.
καὶ δῆτα πάντας σκυτοτόμοις ᾐκάζομεν
ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ 'κκλησία·
ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.

V. 398. νὴ δί' AD et Laur. νὴ τὸν Δί' edd. ante Brunckium.

V. 401. τὸ add. AD, Laur. et Iuntina prima: om. Aldina et Iuntina secunda.

V. 402. ἦλθον νὴ Δί' Reisigius Coniect. I. p. XVI. νὴ δί' ἦλθον Ravennas et Iuntina secunda. νὴν ἦλθον Aldina et Iuntina prima. ὥστ'] ὡς Vat. in Scaligeri excerptis.

V. 403. ἔχων ab Brunckio additum. μὰ Δί' Brunckius. Libri μὰ τὸν δί'. ἄλλο γ' ἢ Brunckius. ἄλλον ἢ edd. ante Brunckium. ἄλλο ἢ AD.

V. 405. ἦλθ' ἀθρόος D. ἦλθεν ἀθρόως edd. ante Brunckium. ἦλθεν ἀθρόος A et Monac. πύκνα Ravennas. Legebatur πνύκα.

V. 406.—408. Suidas in σκυτοτόμος.

V. 406. πάντας σκυτοτόμοις Faber. πάντα σκυτοτόμοις Suidas. πάντες σκυτοτόμοι edd. ante Brunckium. εἰκάζομεν Suidas.

V. 407. 408. Suidas in οὐ γάρ.

V. 408. λευκοπληθὲς Monac. et Aldina.

ΒΛΕΠΥΡΟΣ.

οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών;

ΧΡΕΜΗΣ.

πόθεν;
οὐδ' εἰ μὰ Δία τότ' ἦλθες; ὅτε τὸ δεύτερον
ἀλεκτρυὼν ἐφθέγγετ'.

ΒΛΕΠΥΡΟΣ.

οἴμοι δείλαιος.
Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον· τἀμὰ γὰρ διοίχεται.
ἀτὰρ τί τὸ πρᾶγμ' ἦν, ὅτι τοσοῦτον χρῆμ' ὄχλου
οὕτως ἐν ὥρᾳ ξυνελέγη;

ΧΡΕΜΗΣ.

τί δ' ἄλλο γ' ἢ
ἔδοξε τοῖς πρυτάνεσι περὶ σωτηρίας
γνώμας καθεῖναι τῆς πόλεως; κατ' εὐθέως
πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν,
κἄπειθ' ὁ δῆμος ἀναβοᾷ πόσον δοκεῖς,
οὐ δεινὰ τολμᾶν τουτονὶ δημηγορεῖν,
καὶ ταῦτα περὶ σωτηρίας προκειμένου,
ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο;
ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη,
τί δαί με χρῆν δρᾶν;

ΒΛΕΠΥΡΟΣ.

σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ

V. 412. Libri ἀλεκτρυών.

V. 413. 414. Suidas in ἀποίμωξον. Ex Aeschyli Myrmidonibus haec sumpta esse annotavit scholiastes. Ibi scriptum erat Ἀ. ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζ. μ.

V. 415. αὐτὰρ τί τὸ πρᾶγμ' ἦν ὅτε τοσοῦτον χρῆμ' ὄχλος Laur. ὄχλος etiam Iuntina prima.

V. 416. συνελλέγη Laur. ξυνελλέγη Iuntina prima.

V. 419. πρῶτον Suidas editus in παρείρπυσε: πρῶτος MS. Oxon. παρέρπυσεν Laur. et Iuntina prima.

V. 421. οὐ om. A et Laur. Eius loco ὡς habet D.

V. 423. ὃς AD. ὡς edd. ante Brunckium

V. 425. χρὴ Laur. σκορόδων Suidas in γλάμων.

τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ
σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας,
ἔγωγ᾽ ἂν εἶπον, εἰ παρὼν ἐτύγχανον.

ΧΡΕΜΗΣ.

μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
παρῆλθε γυμνός, ὡς ἐδόκει τοῖς πλείοσιν·
αὐτός γε μέντοὔφασκεν ἱμάτιον ἔχειν,
κἄπειτ᾽ ἔλεξε δημοτικωτάτους λόγους·
ὁρᾶτε μέν με δεόμενον σωτηρίας
τετραστατήρου καὐτόν· ἀλλ᾽ ὅμως ἐρῶ
ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
χλαίνας, ἐπειδὰν πρῶτον ἥλιος τραπῇ,
πλευρῖτις ἡμῶν οὐδέν᾽ ἂν λάβοι ποτέ.
ὅσοις δὲ κλίνη μή 'στι μηδὲ στρώματα,
ἰέναι καθευδήσοντας ἀπονενιμμένους
εἰς τῶν σκυλοδεψῶν· ἢν δ᾽ ἀποκλείῃ τῇ θύρᾳ
χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.

V. 426. ἐκβαλόντα Laur.

V. 427. σαυτοῦ Ravennas et Suidas in γλάμων. Legebatur σαυτῷ.

V. 432. 433. Suidas in δημοτικά.

V. 432.—442. Suidas in τετραστατήρου.

V. 434. Pollux IX, 58.

V. 436.—438. Suidas in κναφεύς.

V. 437. τράπῃ Monac. et edd. ante Brunckium.

V. 438. ἂν ἡμῶν Ravennas. πλευρῖτις ἂν ὑμῶν οὐδένα βλάψοι ποτέ Suidas in κναφεύς. πλευρῖτιν ἂν ὑμῶν οὐδὲν ἂν λάβοι ποτέ idem in τετραστατήρου. οὐδὲν Monac.

V. 439.—441. Suidas in σκύλα.

V. 441. κυλοδεψῶν Laur. Aldina et Iuntina prima: ἀποκλείῃ τῇ θύρᾳ Abreschius Lect. Aristaen. lib. II. p. 270. ἀποκλίνῃ τῇ θύρᾳ edd. ante Brunckium, Ravennas, Monac. et Suidas in τετραστατήρου. ἀποκλίνῃ τὴν θύραν A et Suidas in ἀλφιταμοιβούς: Kusterus et Brunckius ἐπικλίνῃ τὴν θύραν.

V. 442. ἀφείλετο Suidas in σισύρα, sed ὀφειλέτω idem in τετραστατήρου.

τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; οὗ τί που
Κινησίας σου κατατετίληκέν ποθεν;

ΒΛΕΠΥΡΟΣ.

οὐκ, ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα
τὸ κροκωτίδιον ἀμπισχόμενος, οὐνδύεται.

ΑΝΗΡ.

τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν;

ΒΛΕΠΥΡΟΣ.

οὐκ ἔχω φράσαι.
ζητῶν γὰρ αὐτ' οὐχ εὗρον ἐν τοῖς στρώμασιν.

ΑΝΗΡ.

εἶτ' οὐδὲ τὴν γυναῖχ' ἐκέλευσάς σοι φράσαι;

ΒΛΕΠΥΡΟΣ.

μὰ τὸν Δί' οὐ γὰρ ἔνδον οὖσα τυγχάνει.
ἀλλ' ἐπετρύπησεν λαθοῦσά μ' ἔνδοθεν
ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.

ΑΝΗΡ.

νὴ τὸν Ποσειδῶ, ταὐτὰ τοίνυν ἄντικρυς
ἐμοὶ πέπονθας. καὶ γὰρ ἥ ξύνειμ' ἐγὼ
φρούδη 'στ' ἔχουσα θοἰμάτιον οὐγὼ 'φόρουν,
κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας·
οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.

ΒΛΕΠΥΡΟΣ.

μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
Λακωνικάς· ἀλλ' ὡς ἔτυχον ζητῶν,

V. 350. 351. Suidas in τί τοῦτο.

V. 351. πόθεν; Blepyro tribuunt libri. Correxit Brunckius.

V. 353. κροκωτίδιον Arnaldus in Animadv. crit. p. 252. et Brunckius. κροκώτιον Portus, Kusterus et Ravennas. κροκώτιον AD, Laur. Monac. Aldina et Iuntinae. ἀμπεχόμενος Laur. οὐνδύεται libri scripti et Iuntina prima. ὃ 'νδύεται Aldina et Iuntina secunda.

V. 354. σοι Laur.

V. 356. ἐκέλευσα Monac.

V. 363. κοὐ τοῦτό πω λυπεῖ Laur. Monac. et edd. ante Portum, qui primus πω delevit. Tacet Brunckius.

V. 366. λακωνικῶς Laur. ἔτυχον primum editum in Iuntina secunda: Aldina et Iuntina prima et Monac. ἔτυχε.

εἰς τὼ κοθόρνω τὼ ποδ᾽ ἐνθεὶς ἵεμαι,
ἵνα μὴ ᾽γγέσαιμ᾽ εἰς τὴν σισύραν· φαπὴ γὰρ ἦν·

ΑΝΗΡ.

τί δῆτ᾽ ἂν εἴη; μῶν ἐπ᾽ ἄριστον γυνὴ
κέκληκεν αὐτὴν τῶν φίλων;

ΒΛΕΠΥΡΟΣ.

γνώμην γ᾽ ἐμήν.
οὔκουν πονηρά γ᾽ ἐστὶν ὅ τι κἄμ᾽ εἰδέναι.

ΑΝΗΡ.

ἀλλὰ σὺ μὲν ἱμονίαν τιν᾽ ἀποπατεῖς· ἐμοὶ δ᾽
ὥρα βαδίζειν ἐστὶν εἰς ἐκκλησίαν,
ἥνπερ λάβω θοἰμάτιον, ὅπερ ἦν μοι μόνον.

ΒΛΕΠΥΡΟΣ.

κἄγωγ᾽, ἐπειδὰν ἀποπατήσω· νῦν δέ μου
ἀχράς τις ἐγκλείσασ᾽ ἔχει τὰ σιτία.

ΑΝΗΡ.

μῶν ἦν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;

ΒΛΕΠΥΡΟΣ.

νὴ τὸν Διόνυσον, ἐνέχεται γοῦν μοι σφόδρα.
ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό μα
μόνον τὸ λυποῦν ἐστίν, ἀλλ᾽ ὅταν φάγω,
ὅποι βαδιεῖταί μοι τὸ λοιπὸν ἡ κόπρος.

V. 367. εἰς] Scribebatur ἐς. ἵεμαι] ἴεμαι edd. ante Brunckium et Monac. ἴεμι Ravennas. ἰέμην D, Brunckius.

V. 368. εἰς Suidas in φαπή. Scribebatur ἐς.

V. 370. αὐτὴν Laur. αὖ τινὰ τῶν Scaligeri excerpta.

V. 371. alteri viro cum sequentibus tribuunt edd. ante Brunckium. Attulit hunc versum Suidas in ὅ τι μ᾽ εἰδέναι. ὅσον κἄμ᾽ εἰδέναι D.

V. 373. εἰς ἐκκλησίαν AD, Laur. et Scaligeri excerpta. εἰς τὴν ἐκκλησίαν Ald. et Iuntinae.

V. 375. νῦν A a pr. manu et D. νυνὶ Monac. et edd. ante Brunckium.

V. 376. 377. Suidas in ἀχράς.

V. 377. λακωμανικοῖς Ravennas.

V. 381. τὸ om. Laur.

νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅστις ποτ' ἔστ' ἄνθρωπος, ἀχραδούσιος.
τίς ἂν οὖν ἰατρόν μοι μετέλθοι καὶ τίνα;
τίς τῶν καταπρώκτων δεινός ἐστι τὴν τέχνην;
ἆρ' οἶδ' Ἀμύνων; ἀλλ' ἴσως ἀρνήσεται.
Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων
οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.
ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς
διαρραγέντα μηδὲ βεβαλανωμένον,
ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

ΧΡΕΜΗΣ.

οὗτος, τί ποιεῖς; οὔ τί που χέζεις;

ΒΛΕΠΥΡΟΣ.

ἐγώ;
οὐ δῆτ' ἔτι γε μὰ τὸν Δί', ἀλλ' ἀνίσταμαι.

ΧΡΕΜΗΣ.

τὸ τῆς γυναικὸς δ' ἀμπέχει χιτώνιον.

ΒΛΕΠΥΡΟΣ.

ἐν τῷ σκότῳ γὰρ τοῦτ' ἔτυχον ἔνδον λαβών.
ἀτὰρ πόθεν ἥκεις ἐτεόν;

ΧΡΕΜΗΣ.

ἐξ ἐκκλησίας.

V. 383. ἐστὶν Laur. Libri ἀχραδούσιος.

V. 385. καταπρώκτων] κατὰ πρωκτῶν A. κατὰ πρωκτὸν D.

V. 387.—391. Suidas in πρωκτός; v. 387.—389. idem in χεζητιῶν.

V. 387. ἀντισθένη D et Suidas. ἀντισθένην editiones ante Brunckium et MS. Oxon. Suidae in χεζητιῶν.

V. 388. Libri ἀνὴρ.

V. 391. Suidas in βεβαλανωμένον.

V. 394. ἔτι γε] ἔγνως Laur. et Iuntina prima.

V. 395. τὸ] τί D. δ' om. AD. ἀμπέχῃ A. χιτώνιον Iuntina secunda. τριβώνιον AD, Laur. Monac. Aldina et Iuntina prima.

ΒΛΕΠΥΡΟΣ.

ἤδη λέλυται γάρ;

ΧΡΕΜΗΣ.

νὴ Δί', ὄρθριον μὲν οὖν.
καὶ δῆτα πολὺν ἡ μάλκος ὦ Ζεῦ φίλτατε
γέλων παρέσχεν, ἣν προσέρραινον κύκλῳ.

ΒΛΕΠΥΡΟΣ.

τὸ τριώβολον δῆτ' ἔλαβες;

ΧΡΕΜΗΣ.

εἰ γὰρ ὤφελον.
ἀλλ' ὕστερος ἦλθον νὴ Δί', ὥστ' αἰσχύνομαι
ἔχων μὰ Δί' οὐδὲν ἄλλο γ' ἢ τὸν θύλακον.

ΒΛΕΠΥΡΟΣ.

τὸ δ' αἴτιον τί;

ΧΡΕΜΗΣ.

πλεῖστος ἀνθρώπων ὄχλος,
ὅσος οὐδεπώποτ', ἦλθ' ἀθρόος εἰς τὴν πύκνα.
καὶ δῆτα πάντας σκυτοτόμοις ᾐκάζομεν
ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ 'κκλησία·
ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.

V. 398. νὴ δί' AD et Laur. νὴ τὸν Δί' edd. ante Brunckium.

V. 401. τὸ add. AD, Laur. et Iuntina prima: om. Aldina et Iuntina secunda.

V. 402. ἦλθον νὴ Δί' Reisigius Coniect. I. p. XVI. νὴ δί' ἦλθον Ravennas et Iuntina secunda. νὴν ἦλθον Aldina et Iuntina prima. ὥστ' ἢ ὡς Vet. in Scaligeri excerptis.

V. 403. ἔχων ab Brunckio additum. μὰ Δί' Brunckius. Libri μὰ τὸν δί'. ἄλλο γ' ἢ Brunckius. ἄλλον ἢ edd. ante Brunckium. ἄλλο ἢ AD.

V. 405. ἦλθ' ἀθρόος D. ἦλθεν ἀθρόως edd. ante Brunckium. ἦλθεν ἀθρόος A et Monac. πύκνα Ravennas. Legebatur πνύκα.

V. 406.—408. Suidas in σκυτοτόμος.

V. 406. πάντας σκυτοτόμοις Faber. πάντα σκυτοτόμοις Suidas. πάντες σκυτοτόμοι edd. ante Brunckium. εἰκάζομεν Suidas.

V. 407. 408. Suidas in οὐ γάρ.

V. 408. λευκοπληθὲς Monac. et Aldina.

ΒΛΕΠΥΡΟΣ.

ἄριστον σὺ δώσουσι.

ΧΡΕΜΗΣ.

σὺ δέ γε νὴ Δία
δρᾶ ταῦθ', ἵν' ἀριστᾷς τε καὶ κινῇς ἅμα.

ΒΛΕΠΥΡΟΣ.

τὸ πρὸς βίαν δεινότατον.

ΧΡΕΜΗΣ.

ἀλλ' εἰ τῇ πόλει
τοῦτο ξυνοίσει, ταῦτα χρὴ πάντ' ἄνδρα δρᾶν.
λόγος τέ τοί τις ἔστι τῶν γεραιτέρων,
ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα,
ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
καὶ ξυμφέροι γ' ὦ πότνια Παλλὰς καὶ θεοί.
ἀλλ' εἶμι· σὺ δ' ὑγίαινε.

ΒΛΕΠΥΡΟΣ.

καὶ σύ γ' ὦ Χρέμης.

ΧΟΡΟΣ.

ἔμβα, χώρει.
ἆρ' ἔστι τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ;

V. 490. 491. om. Aldina et Iuntina secunda: habent Iuntina prima et libri scripti omnes.

V. 490. δώσουσι D. δώσουσιν Laur. et Iuntina prima, in qua personarum notae hae sunt Χρε. ἦν δέ — δώσουσιν. Βλ. σὺ δὲ — ἅμα. Χρε. τὸ — δεινότατον. Χρε. ἀλλ' —. Correxit Brunckius.

V. 491. ἀριστᾷς τε D. ἀριστᾶ τε Laur. et Iuntina prima. ἀριστᾶτε Monac. κινῇς D. κινεῖς Laur. Monac. Iuntina prima.

V. 492. ἀλλ' ἢ Laur. Iuntina prima.

V. 494.—496. Suidas in γεραίτερος et μῶρα.

V. 494. γέ τοι Suidas utroque loco. τέ τε codex Oxon. in μῶρα.

V. 495. ὅσ' ἂν ἀνόητ' ἢ [illegible] Bentleius. ὅσ' ἂν ἀνόητα χἢ μῶρα Ravennas. ὅσ' ἀνόητα χ' ἢ μῶρα Suidas in γεραίτερος: ὃς ἀνόητα χἢ μῶρα idem in μῶρα. ἀνόητ' ὅσ' ἂν καὶ μῶρα D, Brunckius. [illegible] edd. ante Brunckium.

[illegible] similiter alibi, Aldina et Iuntinae:

στρέφου, σκόπει,
φύλαττε σαυτὴν ἀσφαλῶς, πολλοὶ γὰρ οἱ πανοῦργοι,
μή πού τις ἐκ τοὔπισθεν ὢν τὸ σχῆμα καταφυλάξῃ·
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε.
ἡμῖν δ' ἂν αἰσχύνην φέροι
πάσαισι παρὰ τοῖς ἀνδράσιν τὸ πρᾶγμα τοῦτ' ἐλεγχθέν.
πρὸς ταῦτα συστέλλου σεαυ-
τὴν, καὶ περισκοπουμένη
* * * * τἀκεῖσε καὶ
τἀκ δεξιᾶς, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη
ὅθεν περ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ἦμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν ὅθεν περ ἡ στρατηγὸς
ἔσθ' ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις.
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμενούσας,
πώγωνας ἐξηρτημένας,
μὴ καί τις ἡμᾶς ὄψεται χἠμῶν ἴσως κατείπῃ.
ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς
ἐλθοῦσα πρὸς τὸ τειχίον,

V. 502. φύλασσε σεαυτὴν D. φύλασσε σεαυτὸν Laur.

V. 503. φυλάξῃ D et Laur.

V. 504.—514.=515.—525.

V. 504. ὡς] ὦ Laur.

V. 505. δ' ἂν αἰσχ. Ravennas et Brunckius. δέ γ' αἰσχ. D. δ' αἰσχ. edd. ante Brunckium.

V. 509. Indicavi lacunam, quam Hermannus addito περιστρέφου explebat. τἀκεῖσε Faber. Legebatur κἀκεῖσε.

V. 510. τἀκ δεξιᾶς Faber. τά τ' ἐκ δεξιᾶς Laur, Monac. Aldina et Iuntinae. τά τ' ἐκ δεξιὼν D. γένηται D.

V. 512. ὡρμώμεθ' Portus. ὁρμώμεθ' Aldina et Iuntinae. ὁρμώμεθα Laur.

V. 517. ἡμᾶς ὄψεται Hermannus. Legebatur ὄψεθ' ἡμᾶς versibus aliter descriptis. ὄψαιτο ἡμᾶς Laur. ἴσως κατείπῃ Ravennas, quod restituendum esse viderant Kusterus et Reiskius. ἴσω κατέπτῃ Laur. Monac. et Iuntina prima. ἴσως κατέπτῃ Aldina et Iuntina secunda. εἴσω κατέπτη D.

V. 518. εἶα Laur, et edd. ante Brunckium. ἐπὶ σκιᾷ Laur. et D.

ΧΡΕΜΗΣ.

ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη
ἱμάτια, χρυσί', ἀργύριον, ἐκπώματα,
μόνας μόναις γ', οὐ μαρτύρων ἐναντίον·
καὶ ταῦτ' ἀποφέρειν πάντα κοὐκ ἀποστερεῖν·
ἡμῶν δὲ τοὺς πολλοὺς ἔφασκε τοῦτο δρᾶν.

ΒΛΕΠΥΡΟΣ.

νὴ τὸν Ποσειδῶ, μαρτύρων γ' ἐναντίον.

ΧΡΕΜΗΣ.

οὐ συκοφαντεῖν, οὐ διώκειν, οὐδὲ τὸν
δῆμον καταλύειν, ἄλλα πολλὰ κἀγαθά,
ἕτερά τε πλεῖστα τὰς γυναῖκας εὐλόγει.

ΒΛΕΠΥΡΟΣ.

τί δῆτ' ἔδοξεν;

ΧΡΕΜΗΣ.

ἐπιτρέπειν γε τὴν πόλιν
ταύταις. ἐδόκει γὰρ τοῦτο μόνον ἐν τῇ πόλει
οὔπω γεγενῆσθαι.

ΒΛΕΠΥΡΟΣ.

καὶ δέδοκται;

ΧΡΕΜΗΣ.

φημ' ἐγώ.

V. 467.—469. Suidas in *συμβάλλειν*.

V. 467. ἀλλήλους Laur.

V. 468. ἱμάτιον Suidae codex Oxon. *χρυσίον* Suidas.

V. 469. *μόναις γ' οὐ μαρτύρων ἐν.* D et Laur. Idem haud dubie dare voluit Iuntina prima, in qua expressum *μόναις γ' οὐ μαρτύρων γ' ἐν.. μόναις οὐ μαρτύρων γ'. ἐν.* Ravennas, Ald. Iuntina secunda et Suidas.

V. 470. Suidas in ἀποφέρων.

V. 472. γ' Ravennas. Legebatur τ'.

V. 474. ἄλλα πολλὰ Ravennas, D et Laur. ἄλλα πολλά τε Monac. et edd. ante Brunckium, qui ἄλλα τε πολλὰ de coniectura dedit.

V. 476. γε D. σε edd. ante Brunckium et Ravennas.

V. 477. ταύτας] αὐταῖς D.

ὅ τί σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ὑπακούειν.
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.

ΠΡΑΞΑΓΟΡΑ.

περιμείνατέ νυν, ἵνα τῆς ἀρχῆς ἣν ἄρτι κεχειροτόνημαι
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειότατα γεγένησθε.

V. 537. ξύμφορον] συμφέρον Laur. ὑπακούειν Laur. et Iuntina prima. ἐπακούειν Aldina et Iuntina secunda.

V. 538. Suidas in ξυμμίξασα.

V. 539. παραμείνατε Laur. νυν] Scribebatur νῦν.

V. 540. πάσαις Brunckius. Legebatur ἁπάσαις. ὑμῖν] ἡμῖν Monac. χρήσωμαι Brunckius tacito. Editiones priores χρήσομαι, correctum iam in Scaligeri excerptis.

ΒΔΕΠΤΡΟΣ. ΠΡΑΞΑΓΟΡΑ. ΑΝΗΡ. ΧΟΡΟΣ.

ΒΔΕΠΥΡΟΣ.

Αὕτη, πόθεν ἥκεις, Πραξαγόρα;

ΠΡΑΞΑΓΟΡΑ.

τί δ' ἃ μέλε σοὶ τοῦδ';

ΒΔΕΠΥΡΟΣ.

ὅ τί μοι τοῦτ' ἐστίν; ὡς εὐηθικῶς.

ΠΡΑΞΑΓΟΡΑ.

οὗ τοι παρὰ τοῦ μοιχοῦ γε φήσεις.

ΒΔΕΠΥΡΟΣ.

οὐκ ἴσως

ἑνός γε.

ΠΡΑΞΑΓΟΡΑ.

καὶ μὴν βασανίσαι τουτί γέ σοι ἔξεστι.

ΒΔΕΠΥΡΟΣ.

πῶς;

ΠΡΑΞΑΓΟΡΑ.

εἰ τῆς κεφαλῆς ὄζω μύρου.

ΒΔΕΠΥΡΟΣ.

τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;

ΠΡΑΞΑΓΟΡΑ.

οὐ δὴ τάλαιν' ἔγωγε.

V. 543. τοῦτο. ὅτι Laur. ὡς εὐηθικῶς Praxagorae tribuunt edd. ante Brunckium: viro continuat D.

V. 544. παρὰ Ravennas, Laur. et Iuntina prima: ceteri libri περὶ.

V. 545. ἑνός Monac. a manu rec.

V. 547. γυνὴ ἄνευ Laur.

ΒΛΕΠΥΡΟΣ.

πῶς οὖν ὄρθριον
ᾤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μου;

ΠΡΑΞΑΓΟΡΑ.

γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
μετεπέμψατ' ὠδίνουσα.

ΒΛΕΠΥΡΟΣ.

κἄτ' οὐκ ἦν ἐμοὶ
φράσασαν ἰέναι;

ΠΡΑΞΑΓΟΡΑ.

τῆς λεχοῦς δ' οὐ φροντίσαι,
οἵτως ἐχούσης, ὦνερ;

ΒΛΕΠΥΡΟΣ.

εἰποῦσάν γέ μοι.
ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν.

ΠΡΑΞΑΓΟΡΑ.

μὰ τὼ θεώ·
ἀλλ' ὥςπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ
ἥπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.

ΒΛΕΠΥΡΟΣ.

εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν σ' ἔχειν;
ἀλλ' ἔμ' ἀποδύσασ', ἐπιβαλοῦσα τοὔγκυκλον,
ᾤχου καταλιποῦσ' ὡςπερεὶ προκείμενον,
μόνον οὐ στεφανώσασ' οὐδ' ἐπιθεῖσα λήκυθον.

ΠΡΑΞΑΓΟΡΑ.

ψῦχος γὰρ ἦν· ἐγὼ δὲ λεπτὴ κἀσθενής·

V. 549. ᾤχου σιωπῇ] ᾤχου σὺ καὶ πῇ D. ᾤχουσα πῇ Iuntina prima. μου Ravennas. Legebatur μοι.

V. 552. φράσουσαν Monac. οὐ] ἦν D, quod recepit Brunckius sententia extra interrogationem posita.

V. 557. ἐχρῆν σ' ἔχειν Ravennas et edd. ante Brunckium, qui σ' ἐχρῆν ἔχειν edidit, fortasse auctore D: nam σ' ἔχρην ἔχειν scriptum certe est in Laur.

V. 558. ἐπιβαλοῦσα Ravennas, Laur. Monac. D.: ceteri libri ἐπιλαβοῦσα. τοὔγκυκλον] τοῦ κύκλου Laur. τοῦ κύκλου D.

V. 559. 560. Suidas in ᾤχου.

V. 561. Scribebatur ψύχος.

ἔπειθ' ἵν' ἀλεαίνοιμι, τοῦτ' ἠμπισχόμην·
σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασιν
κατέλιπον ὤνερ.

ΒΔΕΛΥΡΟΣ.

αἱ δὲ δὴ Λαχωνικαὶ
ᾤχοντο μετὰ σοῦ κατὰ τί χὴ βακτηρία;

ΠΡΑΞΑΓΟΡΑ.

ἵνα θοἰμάτιον σώσαμι, μεθυπεδησάμην
μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.

ΒΔΕΛΥΡΟΣ.

οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα,
ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι;

ΠΡΑΞΑΓΟΡΑ.

μὴ φροντίσῃς· ἄρρεν γὰρ ἔτεκε παιδίον.

ΒΔΕΛΥΡΟΣ.

ἡ 'κκλησία;

ΠΡΑΞΑΓΟΡΑ.

μὰ Δί' ἀλλ' ἐφ' ᾗν ἐγῳχόμην.
ἀτὰρ γεγένηται;

ΒΔΕΛΥΡΟΣ.

ναὶ μὰ Δί'. οὐκ ᾔδησθά με
φράσαντά σοι χθές;

V. 562. *Ἵν' ἀλεαίνοιμι* Suidas in *ἀλεαίνομι*: quocum confer Bekkeri Anecd I. p. 14, 24. 576, 1. ubi male *ἀλέοιμι*, et 381, 25. *ἵνα λεαίνοιμι* Monac. Aldina et Iuntinae. *ἵνα 'λεαίνομαι* Laur. *ἠμπεσχόμην* Bekkeri Anecd. 381., non Suidas. *ἠμπισχημένον* Laur. Praeterea *οὐκοῦν* pro *ἔπειθ'* Bekk. Anecd.

V. 563. *στρώμασιν* Laur. Scribebatur *στρῴμασι*.

V. 565. *κατὰ τί χ' ἡ* Ravennas. *καὶ κατὰ τί χ' ἡ* Iuntina secunda. *καὶ κατίσχ' ἡ* Aldina. *κατίσχ' ἡ* Monac. *κἄστιχ' ἡ* Laur. et Iuntina prima. *κἄστι χἡ* D.

V. 569. *ἑκτέον ὃ χρῆν* D.

V. 572. *ἐφ' ἣν ἐγ' ᾠχόμην* Ravennas et editio Brubachiana. Ergo *ἐγῳχόμην* scribendum fuit. *ἔφην* (*ἐφ' ἣν* Laur. Monac.) *ἐγωγ' ᾠχόμην* Laur. Monac. Aldina et Iuntinae. *ἐφ' ἣν 'γώ γ' ᾠχόμην* D. *ἐφ' ἥπερ ᾠχόμην* Brunckius.

V. 573. *ᾔδησθα* Brunckius. Scribebatur *ᾔδεισθα*. *ᾔδεισθων* Laur.

ΠΡΑΞΑΓΟΡΑ.

ἀρτι γ' ἀναμιμνήσκομαι.

ΒΛΕΠΥΡΟΣ.

οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα;

ΠΡΑΞΑΓΟΡΑ.

μὰ Δί', ἐγὼ μὲν οὔ.

ΒΛΕΠΥΡΟΣ.

κάθησο τοίνυν ῥητίας μασωμένη.
ὑμῖν δὲ φασὶ παραδεδόσθαι τὴν πόλιν.

ΠΡΑΞΑΓΟΡΑ.

τί δρᾶν; ὑφαίνειν;

ΒΛΕΠΥΡΟΣ.

οὐ μὰ Δί' ἀλλ' ἄρχειν.

ΠΡΑΞΑΓΟΡΑ.

τίνων;

ΒΛΕΠΥΡΟΣ.

ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.

ΠΡΑΞΑΓΟΡΑ.

νὴ τὴν Ἀφροδίτην, μακαρία τἄρ' ἡ πόλις
ἔσται τὸ λοιπόν.

ΒΛΕΠΥΡΟΣ.

κατὰ τί;

ΠΡΑΞΑΓΟΡΑ.

πολλῶν οὕνεκα.
οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρᾶ δρᾶν
ἔσται τὸ λοιπόν· οὐδαμοῦ δὲ μαρτυρεῖν,
οὐ συκοφαντεῖν.

V. 575. οὐδ' ἄρα τὴν δόξαν τῶν οἶσθα Laur.

V. 576. Suidas in σηπία. κάθησο Scaligeri excerpta, Kusterus et Suidas. κάθισο edd. ante Kusterum.

V. 578. τίνων Ravennas; Laur., D, Iuntina prima. τίνος Monac. Aldina, Iuntina secunda.

V. 579. κατὰ τὴν πόλιν D.

V. 580. τἄρ'] Libri γὰρ.

V. 581. 582. om. Laur. et D.

ΒΛΕΠΥΡΟΣ.

μηδαμῶς, πρὸς τῶν θεῶν,
τουτὶ ποιήσῃς μηδ' ἀφέλῃ μου τὸν βίον.

ΑΝΗΡ.

ὦ δαιμόνι' ἀνδρῶν, τὴν γυναῖκ' ἔα λέγειν.

ΠΡΑΞΑΓΟΡΑ.

μὴ λωποδυτῆσαι, μὴ φθονεῖν τοῖς πλησίον,
μὴ γυμνὸν εἶναι, μὴ πέντα μηδένα,
μὴ λοιδορεῖσθαι, μὴ 'γγυρᾶζόμενον φέρειν.

ΑΝΗΡ.

νὴ τὸν Ποσειδῶ, μεγάλα γ', εἰ μὴ ψεύσεται.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλ' ἀποφανεῖ τοῦθ', ὥστε σέ γε μοι μαρτυρεῖν,
καὶ τοῦτον αὐτὸν μηδὲν ἀπειπεῖν ἐμοί.

ΧΟΡΟΣ.

νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ φιλόσοφον ἐγείρειν
φροντίδ' ἐπισταμένην
ταῖσι φίλαισιν ἀμύνειν.
κοινῇ γὰρ ἐπ' εὐτύχιαισιν
ἔρχεται γλώττης ἐπίνοια, πολίτην
δῆμον ἐπαγλαΐουσα
μυρίαισιν ὠφελίαισι βίου, δη-
λοῦν ὅ τί περ δύναται.

V. 585. ἀφέλῃ Laur. Legebatur ἀφέλῃς.

V. 586. 590. choro tribuit Brunckius: v. 586. Praxagorae Monac.

V. 589. μήτ' ἐγχυρᾶζόμενον Laur.

V. 590. ἄλλος ἀν. praefixum in Monac. μεγάλ' εἰ μὴ Laur. et Iuntina prima. ψεύδεται Brunckius tacito.

V. 591. τοῦθ' ὥστε σέ γε μοι μαρτυρεῖν Ravennas et Iuntina secunda. τοῦθ' ὅστ' ἐμοιγε μαρτυρεῖν Aldina et Iuntina prima. τοῦθ' ὅστις γέ μοι μαρτυρεῖν Laur. Monac. τόνδ' ὅστις ἂν μοι μαρτυρῇ D.

V. 593. σε] γε D. πυκνὴν Laur., D et Iuntina prima. Legebatur πυκνάν. φιλόσοφον non dubium videtur quin in alius vocis locum irrepserit. Fortasse scribendum φιλόδημον.

V. 597. γλώττης] γνώμης Marklandus ad Eurip. Suppl. 547.

V. 599. ὠφελίαισι Ravennas. Legebatur εὐτυχίαισι.

V. 600. δύναται. καιρὸς δέ Hermannus. Legebatur δύναται καιρός.

καιρὸς δέ· δεῖται γάρ τε σοφοῦ τινὸς ἐξευ-
ρήματος ἡ πόλις ἡμῶν.
ἀλλὰ πέραινε μόνον
μήτε δεδραμένα μήτ' εἰ-
ρημένα πω πρότερον·
μισοῦσι γὰρ ἢν τὰ παλαιὰ
πολλάκις θεῶνται.
ἀλλ' οὐ μέλλειν, ἀλλ' ἅπτεσθαι καὶ δὴ χρὴ ταῖς δια-
νοίαις,
ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι
θεαταῖς.

ΠΡΑΞΑΓΟΡΑ.

καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω πιστεύω· τοὺς δὲ
θεατὰς,
εἰ καινοτομεῖν ἐθελήσουσιν καὶ μὴ τοῖς ἠθάσι λίαν
τοῖς ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μάλιστα δέ-
δοικα.

ΒΛΕΠΥΡΟΣ.

περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς· τοῦτο γὰρ
ἡμῖν
δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστιν, τῶν δ' ἀρχαίων
ἀμελῆσαι.

ΠΡΑΞΑΓΟΡΑ.

μή νυν πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ μηδ' ὑπο-
κρούσῃ,
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν καὶ τοῦ φράζοντος
ἀκοῦσαι.

V. 601. τι Aldina. τοι Laur., D et Iuntina prima. τοί γε Iuntina secunda.

V. 608. χρὴ D. χρῆν vel χρῆν edd. ante Brunckium.

V. 611. ἠθάσι] γρ. ἤθεσι D.

V. 612. τοῖς ἀρχαίοις Laur. et D: ceteri libri τοῖς τ' ἀρχαίοις.

V. 614. Suidas in ἀντ' ἄλλης.

V. 615. μὴ νῦν edd. ante Brunckium. ἀποκρούσῃς Laur.

V. 616. ἐπίστασθαι] ἐπιστῆσαι Elmsleius ad Medeam p. 120.

κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι πάντων μετέχον-
τας,
κἀκ ταὐτοῦ ζῆν καὶ μὴ τὸν μὲν πλουτεῖν, τὸν δ' ἄθλιον εἶναι·
μηδὲ γεωργεῖν τὸν μὲν πολλὴν, τῷ δ' εἶναι μηδὲ ταφῆναι·
μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς, τὸν δ' οὐδ' ἀκολούθῳ·
ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσιν βίοτον καὶ τοῦτον ὅμοιον.

ΒΛΕΠΥΡΟΣ.

πῶς οὖν ἔσται κοινὸς ἅπασιν;

ΠΡΑΞΑΓΟΡΑ.

κατέδει σπέλεθον πρότερός μου.

ΒΛΕΠΥΡΟΣ.

καὶ τῶν σπελέθων κοινωνοῦμεν;

ΠΡΑΞΑΓΟΡΑ.

μὰ Δί' ἀλλ' ἔφθης μ' ὑποκρούσας.
τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν· τὴν γῆν πρώτιστα ποιήσω
κοινὴν πάντων καὶ τἀργύριον καὶ τἄλλ' ὁπόσ' ἐστὶν ἑκάστῳ.
εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς

V. 617. μετέχοντες Monac.

V. 619. καὶ μὴ γεωργεῖν Laur.

V. 620. τὸν δ' οὐδ' ἀκολούθῳ Ravennas et Iuntina prima. τόνδ' οὐδ' ἀλύθων Laur. τὸν δ' οὐδ' ἀκολούθοις D. τὸν δ' ἀκολούθῳ Monac. Ald. Iuntina secunda.

V. 621. ποῶ πᾶσι βίοτον Laur.

V. 622. κατέδει Brunckius. Scribebatur κατεδεῖ. μου D. μοι edd. ante Brunckium.

V. 623. τῶν σπελέθων Aldina et Iuntina secunda, καὶ τῶν σπελέθων Iuntina prima ex Laur. ut opinor: neque enim credibile Laur. cum Kusteri consentire editione, in qua de coniectura editum τῶν δὲ σπελέθων. μ'] μοι Laur.

V. 624. ποήσω Laur.

V. 626. κοινῶν] καὶ τῶν Monac.

ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι.

ΒΛΕΠΥΡΟΣ.

πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ καὶ Δαρεικοὺς, ἀφανῆ πλοῦτον;

ΠΡΑΞΑΓΟΡΑ.

τοῦτ' εἰς τὸ μέσον καταθήσει,
καὶ μὴ καταθεὶς ψευδορκήσει.

ΒΛΕΠΥΡΟΣ.

κἄκτήσατο γὰρ διὰ τοῦτο.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αἰτῷ.

ΒΛΕΠΥΡΟΣ.

κατὰ δή τί;

ΠΡΑΞΑΓΟΡΑ.

οὐδεὶς οὐδὲν πενίᾳ δράσει. πάντα γὰρ ἕξουσιν ἅπαντες,
ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους, ἐρεβίνθους.
ὥστε τί κέρδος μὴ καταθεῖναι; σὺ γὰρ ἑξευρὼν ἀπόδειξον.

ΒΛΕΠΥΡΟΣ.

οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ', οἷς ταῦτα πάρεστι;

ΠΡΑΞΑΓΟΡΑ.

πρότερόν γ' ὠταῖρ', ὅτε τοῖσι νόμοις διεχρώμεθα τοῖς προτέροισιν·
νῦν δ', ἔσται γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ καταθεῖναι;

V. 629. τοῦτ'] ταῦτ' Brunckius. εἰς] Scribebatur ἐς.

V. 631. τοι] τι D.

V. 632. οὐδὲν Laur. Iuntina secunda. οὐδ' ἐν Monac. Aldina, Iuntina secunda. πενίᾳ] πνεύματι Laur. D.

V. 636. ὠταῖρ'] ὦ 'τὰν D. τοῖσι] τούτοισι Laur.

ΒΛΕΠ�υΡΟΣ.

ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ καὶ βούληται σκαλαθῦραι,
ἔξει τούτων ὠφελὼν δοῦναι· τῶν ἐκ κοινοῦ δὲ μεθέξει
ξυγκαταδαρθών.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλ' ἐξέσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.
καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατακεῖσθαι
καὶ παιδροποιεῖν τῷ βουλομένῳ.

ΒΛΕΠΥΡΟΣ.

πῶς οὖν, εἰ πάντες ἴασιν
ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν καὶ ζητήσουσιν ἐρείδειν;

ΠΡΑΞΑΓΟΡΑ.

αἱ φαυλότεραι καὶ σιμότεραι παρὰ τὰς σεμνὰς καθεδοῦνται·
κἂν ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.

ΒΛΕΠΥΡΟΣ.

καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας, ἢν ταῖς αἰσχραῖσι συνῶμεν,
οὐκ ἐπιλείψει τὸ πέος πρότερον πρὶν ἐκεῖσ' οἷ φῆς ἀφικέσθαι;

V. 638. *βούληται*, Suidas in *σκαλαθῦραι*, Laur. D et Kusteri editio. *βούλεται* Monac. Aldina et Iuntinae. Quod post *βούλ.* inserunt *τοῦτον* edd. ante Brunckium, delendum esse primus vidit Scaliger, neque Suidas habet. *σκωλαθύραι* D.

V. 639. *μεθέξειν* Laur.

V. 640. *ξυγκαταδαρθών*] *ξυγκαταδραθῶν* Laur. *προῖκα μεταδαρθεῖν* Laur.

V. 641. *ξυγκατάκεῖσθαι* edd. ante Brunckium praeter Iuntinam primam, quae *ξυγκαταδαρθεῖν* consentientibus Laur. et D.

V. 642. *πῶς οὖν πάντες ἴασιν* Laur, unde *ἴασι* receptum in Iuntinam primam. Ceterae editiones recte *ἴασι*.

V. 643. *καὶ* om. Laur. *ζητήσουσιν* Iuntina secunda. *ζητοῦσιν* Laur. Monac. Aldina, Iunt. prima.

V. 646. *τὰς πρεσβύτας* Laur. Libri vel *ξυνῶμεν* vel ut editiones veteres *ξυννῶμεν*. Correxit Brunckius.

ΠΡΑΞΑΓΟΡΑ.

οὐχὶ μαχοῦνται.

ΒΛΕΠΥΡΟΣ.

περὶ τοῦ;

ΠΡΑΞΑΓΟΡΑ.

θάρρει, μὴ δείσῃς, οὐχὶ μαχοῦνται.

ΒΛΕΠΥΡΟΣ.

περὶ τοῦ;

ΠΡΑΞΑΓΟΡΑ.

τοῦ μὴ ξυγκαταδαρθεῖν. καὶ σοὶ τοιοῦτον ὑπάρχει.

ΒΛΕΠΥΡΟΣ.

650 τὸ μὲν ὑμέτερον γνώμην τιν' ἔχει. προβεβούλευται γὰρ, ὅπως ἂν
μηδεμιᾶς ᾖ τρύπημα κενόν· τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
φεύξονται γὰρ τοὺς αἰσχίους, ἐπὶ τοὺς δὲ καλοὺς βαδιοῦνται.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλὰ φυλάξουσ' οἱ φαυλότεροι τοὺς καλλίσους ἀπιόντας

V. 648. οὐχὶ μαχοῦνται. περὶ σοῦ θάρρ' εἰ μὴ δείσας οὐχὶ μαχοῦνται περὶ τοῦ. τοῦ μὴ ξυγκαταδαρθεῖν. καί σοι τοιοῦτον ὑπάρχειν Laur. οὐχὶ μαχοῦνται περί σου θάρρει. μὴ δείσῃς. οὐχὶ μαχοῦνται. περὶ τοῦ. τοῦ μὴ ξυγκ. καί σοι τ. ὑπάρχει D. πρ. οὐχὶ μ. περὶ σοῦ. θάρρει μὴ δείσῃς. βλ. οὐχὶ μαχοῦνται; περὶ τοῦ; πρ. τοῦ μὴ — ὑπάρξει Monac. qui tres sequentes versus Blepyro tribuit. πρ. οὐχὶ μαχοῦνται περὶ τοῦ (σοῦ Iuntina prima). πρα. τοῦ μὴ ξυγκαταδαρθεῖν. βλ. καί σοι τοιοῦτον ὑπάρξει (ὑπάρχει Iuntina prima) Ald. πρ. οὐχὶ μαχοῦνται. βλ. περὶ σοῦ. πρα. τοῦ μὴ ξυγκ. βλ. καί σοι τὰ περὶ τούτων δὴ μάχεσθαι Iuntina secunda. Vera scriptura ab Brunckio restituta.

V. 650. — 652. cum praecedentibus verbis καί σοι τ. ὑπ. Blepyro tribuunt Aldina et Iuntina prima. βλ. καί σοι — πρ. τὸ μὲν — βλε. τὸ δὲ τῶν — βαδιοῦνται Iuntina secunda. Veram personarum distinctionem servavit Monac.

V. 650. ὑμέτερον Laur. et Iuntina prima. Legebatur ἡμέτερον.

V. 652. ἐπὶ τοὺς δὲ Brunckii editio et Bentleius. Legebatur ἐπὶ δὲ τοὺς.

V. 653. αἱ φαυλότεραι Brunckius tacito edidit.

ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ᾽ ἐπὶ τοῖσιν δημοσίοισιν
[οἱ φαυλότεροι]· κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς καταδαρθεῖν
ταῖσι γυναιξὶν πρὶν τοῖς αἰσχροῖς καὶ τοῖς μικροῖς χαρίσωνται.

ΒΛΕΠΥΡΟΣ.

ἦ Λυσικράτους ἄρα νυνὶ ὁἰς ἴσα τοῖσι καλοῖσι φρονήσει.

ΠΡΑΞΑΓΟΡΑ.

νὴ τὸν Ἀπόλλω· καὶ δημοτική γ᾽ ἡ γνώμη καὶ καταχήνη
τῶν σεμνοτέρων ἔσται πολλὴ καὶ τῶν σφραγῖδας ἐχόντων,
ὅταν ἐμβάδ᾽ ἔχων εἴπῃ, πρότερος παραχώρει, κἄτ᾽ ἐπιτήρει,

Versum 654. om. D.

V. 655. *οἱ φαυλότεροι* recte delet Tyrwhittus in Gaisfordi annotatione ad Eurip. Supplices p. 206. versu non improbabiliter expleto *κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς καὶ τοῖς μεγάλοις καταδαρθεῖν*. Quid dici hic debuerit et per se manifestum est et magis etiam intelligetur comparatis versibus 729.—734. ubi gravius lapsus est Brunckius posito *αἱ φαυλότεραι*.

V. 656. *ταῖσι γυναιξὶ* Kusterus. *ταῖς γυναιξὶν* Laur. *ταῖς γυναιξὶ* Ald. et Iuntinae. *χαρίσασθαι* Porsonus ad Marklandi Supplices p. 206. Reisigius Coniect. I. p. 65. Elmsleius ad Medeam p. 119.

V. 657. *τοῖσι καλοῖς* Laur. *τοῖς καλοῖσι* Suidas in *Λυσικράτης*.

V. 658. *δημοτική γ᾽ ἡ* Suidas in *καταχήνη* et Brunckii editio. *δημοτικὴ* edd. ante Brunckium. *δημοτικὴν ἡ* Laur. Monac. *δημοτικὴ δ᾽ ἡ* Suidae codex Oxon.

Versum 660. om. Laur. et D. *ἐμβάδ᾽ ἔχων* Ravennas. *ἐμβάδι γ᾽* edd. ante Brunckium, qui temerariam Fabri suscepit coniecturam *ὅταν ἐμβὰς δὴ γ᾽ εἴπῃ· πρότερῳ παραχώρει*. De nomine proprio aliquo restituendo non sine veri specie cogitarunt Bentleius, Reiskius, Bothius. Quorum Bothius *Ἐμβαδίων* corrigebat, quae coniectura ex Heinsii annotatione ad corruptum Hesychii locum peti potuerat, *Ἐμβάδιον: παίζει ἐπὶ τούτου. „Vid. Aristoph. in loco corrupto Eccles. p. 452. ed. Wech.“*

ὅταν ἤδη γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν.

ΒΛΕΠΥΡΟΣ.

πῶς οἷόν οὕτω ζώντων ἡμῶν τοὺς αὑτοῦ παῖδας ἕκαστος
ἔσται δυνατὸς διαγιγνώσκειν;

ΠΡΑΞΑΓΟΡΑ.

τί δὲ δεῖ; πατέρας γὰρ ἅπαντας
τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισιν νομιοῦσιν.

ΒΛΕΠΥΡΟΣ.

οὐκοῦν ἄγξουσ' εὖ καὶ χρηστῶς ἐξῆς τὸν πάντα γέροντα
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα
ἄγχουσι. τί δῆθ', ὅταν ἄγνως ᾖ, πῶς οὐ τότε κἀπιχεσοῦνται;

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει· τότε δ' αὐτοῖς οὐκ ἔμελ' οὐδὲν
τῶν ἀλλοτρίων, ὅστις τύπτοι· νῦν δ' ἢν πληγέντος ἀκούσῃ,
μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιὼς, τοῖς δρῶσιν τοῦτο μαχεῖται.

ΒΛΕΠΥΡΟΣ.

τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς· εἰ δὲ προσελθὼν Ἐπίκουρος,

V. 661. Suidas in δευτεριάζειν. παραταξάμενος Laur. D. et Iuntina prima.

V. 663. τί δαὶ δεῖ Laur. Iuntina prima. πατέρας γὰρ Kusterus ex Fabri emendatione. Aberat γὰρ. πρῶτον pro πατέρας γὰρ Monac.

V. 664. τοῖς χρονίοισι νομιοῦσιν Laur.

V. 665. οὔκουν Monac. et edd. ante Brunckium. ἐξῆς om. Laur.

V. 666. ὄντα Iuntina secunda. ἰόντα Monac. Ald. Iunt. prima.

V. 668. ἔμελ' Iuntina secunda. ἔμ' Ald. Iunt. prima.

ἦ Λευκολόφας, πάππαν με καλοῖ, τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.

ΠΡΑΞΑΓΟΡΑ.

πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι,

ΒΔΕΛΥΡΟΣ.

τὸ ποῖον;

ΠΡΑΞΑΓΟΡΑ.

εἴ σε φιλήσειεν Ἀρίστυλλος, φάσκων αὐτοῦ πατέρ' εἶναι.

ΒΔΕΛΥΡΟΣ.

οἰμώζοι γ' ἄν καὶ κωκύοι.

ΠΡΑΞΑΓΟΡΑ.

οὐ δέ γ' ὄζοις ἂν καλαμίνθης.
ἀλλ' οὗτος μὲν πρότερον γέγονεν, πρὶν τὸ ψήφισμα γενέσθαι,
ὥστ' οὐχὶ δεῖος μή σε φιλήσῃ.

ΒΔΕΛΥΡΟΣ.

δεινὸν μέντἂν ἐπεπόνθη.
τὴν γῆν δ' τίς ἔσθ' ὁ γεωργήσων;

ΠΡΑΞΑΓΟΡΑ.

οἱ δοῦλοι. σοὶ δὲ μελήσει,
ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον, λιπαρῷ χωρεῖν ἐπὶ δεῖπνον.

V. 672. *πάππαν με καλοῖ* Brunckius. *πάπαν με καλῇ* Monac. et Aldina. *πάπαν με καλεῖ* Iuntinae. *καλεῖ* etiam Ravennas.

V. 674. *εἴ γε* Suidas in *Ἀρίστυλλος*. *φιλήσει* Laur.

V. 675. *γ' ἄν*] *μ' ἄν* Monac. *μὰν* Ald.: *γ' ἂν* Iuntinae. *γ' ὄζοις ἄν*] *γ' ὄζεις ἂν* edd. ante Portum. *σ' ὄζεις* Suidas in *καλαμίνθη*.

V. 676. *μὲν τὸ πρότερον γέγονε πρὸς τὸ ψήφισμα* Laur.

V. 677. *δέος*] *δέος οὖ* Laur., D. et Iunt. prima. *ἐπεπόνθη* Suidas in h. v., Brunckius. *ἐπεπόνθην* Monac. Aldina et Iuntinae: aliae *ἐπεπόνθειν*.

V. 679. *λιπαρῷ* Bentleius. *λιπαρῶς* Ravennas et edd. ante Brunckium. *λιπαρῶς χωρεῖν εἰς δεῖπνον* Suidas in *δεκάπουν*. *λιπαρὸν* D.

ΒΛΕΠΥΡΟΣ.

περὶ δ' ἱματίων τίς πόρος ἔσται; καὶ γὰρ τοῦτ' ἔστιν ἐρέσθαι.

ΠΡΑΞΑΓΟΡΑ.

τὰ μὲν ὄνθ' ἅπαντα πρῶτον ὑπάρξει· τὰ δὲ λοιφ' ἡμεῖς φανοῦμεν.

ΒΛΕΠΥΡΟΣ.

ἓν ἔτι ζητῶ· πῶς, ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι δίκην τῳ,

πόθεν ἐκτίσει ταύτην; οὐ γὰρ τῶν κοινῶν γ' ἔστι δίκαιον.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται.

ΒΛΕΠΥΡΟΣ.

τουτὶ δὲ πόσους ἐπιτρίψει;

ΠΡΑΞΑΓΟΡΑ.

καγὼ ταύτῃ γνώμην ἐθέμην. τοῦ γὰρ τάλαν οὕνεκ' ἔσονται;

ΒΛΕΠΥΡΟΣ.

πολλῶν ἕνεκεν νὴ τὸν Ἀπόλλω· πρῶτον δ' ἑνὸς οὕνεκα δήπου,

ἤν τις ὀφείλων ἐξαρνῆται.

ΠΡΑΞΑΓΟΡΑ.

πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας

V. 680. περὶ ἱματίων Laur. ἔρεσθαι edd. omnes.

V. 681. φανοῦμεν Laur.

V. 682. ἤν] ἤ Laur. εἰ Monac. ap. Reisigium I. p. 255. τῳ πῳ edd. veteres.

V. 683. πόθεν κτίσῃ Ravennas.

V. 684. δίκαι] δίκαιαι Laur. τουτὶ δὲ πόσους Kusteri editio ex Fabri emendatione. τουτὶ πόσους Aldina et Iuntinae. τουτὶ ποσ' (ποσ' Monac.) Laur. Monac.

Versum 685. om. Laur. ταύτῃ Reisigius I. p. 180. ταύτην libri et Suidas in ἐθέμην. Sophocles Philoctet. v. 1448. καγὼ γνώμῃ ταύτῃ τίθεμαι, ubi Elmsleio ad Heraclid. v. 1053. γνώμην ταύτην scribendum videbatur.

V. 686. ἕνεκα Laur. οὕνεκα] οὖνεκα edd. ante Brunckium.

ἐν τῷ κοινῷ πάντων ὄντων; κλέπτων δήπου ’στ’ ἐπίδηλος.

ΒΛΕΠΥΡΟΣ.

νὴ τὴν Δήμητρ’ εὖ γε διδάσκεις. τοῦτ’ τοίνυν φράσάτω μοι,

690 τῆς αἰκίας οἱ τύπτοντες πόθεν ἐκτίσουσιν, ἐπειδὰν εὐωχηθέντες ὑβρίζωσιν; τοῦτο γὰρ οἶμαί σ’ ἀπορῆσειν.

ΠΡΑΞΑΓΟΡΑ.

ἀπὸ τῆς μάζης ἧς σιτεῖται· ταύτην γὰρ ὅταν τις ἀφαιρῇ

οὐχ ὑβριεῖται φαύλως οὕτως αὖθις τῇ γαστρὶ κολασθείς.

ΒΛΕΠΥΡΟΣ.

οὐδ’ αὖ κλέπτης οὐδεὶς ἔσται;

ΠΡΑΞΑΓΟΡΑ.

πῶς γὰρ κλέψει, μετὸν αὐτῷ;

ΒΛΕΠΥΡΟΣ.

695 οὐδ’ ἀποδύσουσ’ ἄρα τῶν νυκτῶν;

ΠΡΑΞΑΓΟΡΑ.

οὐκ, ἢν οἴκοι γε καθεύδῃς, οὐδ’ ἢν γε θύραζ’, ὥσπερ πρότερον. βίοτος γὰρ πᾶσιν ὑπάρξει.

V. 688. ἐν τῷ κοινῷ πάντας κλέπτων Laur. et Iuntina prima. κλέπτων δήπου ’στ’ ἐπίδηλος Blepyro tribuit Iuntina secunda.

V. 689. νὴ τὴν Δ. εὖγε διδάσκεις choro tribuit Ravennas. Praxagorae nomen praefixit Iuntina secunda: Praxagorae continuant Aldina et Iuntina prima. Sequentia τοῦτ’ — omnes Blepyro tribuunt.

V. 690. τύπτοντες] κλέπτοντες Aldina, Iunt. secunda et *Vet.* in Scaligeri excerptis. κτίσουσιν Ravennas.

V. 691. ὑβρίζωσι Laur. et Iuntina prima.

V. 692. καὖθις Ravennas.

V. 693. αὖθις accessit ex Ravennate: ut non opus sit priorum editorum memorati cavillatoris.

V. 694. κλέψει μετὸν αὐτῷ Brunckius et Porsonus. κλέψας μετὸν αὐτῷ Ravennas et Suidas in μετόν. κλέψαι μετ’ αὐτῷ Laur. κλέψαιμι τὸ ’μαυτοῦ Aldina et Iuntinae.

V. 695. 696. Suidas in οὐκ ἀποδύσῃ. γε om. Laur.

ἢν δ' ἀποδύῃ γ', αὐτὸς δέσει. τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι;
ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ κρεῖττον ἐκείνου κομιεῖται.

ΒΛΕΠΥΡΟΣ.

οὐδὲ κυβεύσουσιν ἄρ' ἄνθρωποι;

ΠΡΑΞΑΓΟΡΑ.

περὶ τοῦ γὰρ τοῦτο ποιήσει;

ΒΛΕΠΥΡΟΣ.

τὴν δὲ δίαιταν τίνα ποιήσεις;

ΠΡΑΞΑΓΟΡΑ.

κοινὴν πᾶσιν. τὸ γὰρ ἄστυ μίαν οἴκησιν φημὶ ποιήσειν συρρήξασ' εἰς ἓν ἅπαντα, ὥστε βαδίζειν εἰς ἀλλήλους.

ΒΛΕΠΥΡΟΣ.

τὸ δὲ δεῖπνον ποῦ παραθήσεις;

ΠΡΑΞΑΓΟΡΑ.

τὰ δικαστήρια καὶ τὰς στοιὰς ἀνδρῶνας πάντα ποιήσω.

ΒΛΕΠΥΡΟΣ.

τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται;

ΠΡΑΞΑΓΟΡΑ.

τοὺς κρατῆρας καταθήσω καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισιν

V. 698. *ἐκείνου κομιεῖται* Ravennas et Laur. Legebatur *κομιεῖται ἐκείνου*.

V. 699. *κυβεύσουσιν* D. *κυβεύουσ'* edd. ante Brunckium et Ravennas. Scribebatur *ἄνθρωποι*. *περὶ*] Suidas, *τοῦ γὰρ τοῦτο ποιήσει: ἀντὶ τοῦ ἕνεκά τινος*.

V. 700. *δὲ* om. Laur.

V. 703. *τὰ δὲ δικαστήρια* Laur. *στοιὰς* et infra *στοιὰν* Ravennas, Monac. et edd. ante Brunckium. *στοὰς* Brunckius. *στοὰς* Laur. et D, qui hac forma constanter utuntur, et Suidas in *ἀνδρῶνα*.

V. 704. Suidas in *βῆμα*.

ὑμᾶς δὲ τέως θρῖα λαβόντας
διφόρου συκῆς
ἐν τοῖς προθύροισι δέφεσθαι.
φέρε νυν, φράσον μοι, ταῦτ' ἀρέσκει σοφῶν;

ΒΛΕΠΥΡΟΣ.

πάνυ.

ΠΡΑΞΑΓΟΡΑ.

βαδιστέον τἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί,
ἵν' ἀποδέχωμαι τὰ προσιόντα χρήματα,
λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν ἠρημένην
ἄρχειν, καταστῆσαί τε τὰ ξυσσίτια,
ὅπως ἂν εὐώχῃσθε πρῶτον τήμερον.

ΒΛΕΠΥΡΟΣ.

ἤδη γὰρ εὐωχησόμεσθα;

ΠΡΑΞΑΓΟΡΑ.

φήμ' ἐγώ.
ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
ἁπαξαπάσας.

ΒΛΕΠΥΡΟΣ.

ἰνὰ τί;

ΠΡΑΞΑΓΟΡΑ.

δῆλον τουτογί·

V. 735. 736. Athenaeus III. p. 77. D.: 735.—737. Suidas in *δέφεσθαι*.

V. 735. *λαβούσας* Laur. Iunt. prima.

V. 737. *προθύροισι* Ravennas, Laur. D. *προθύροις* edd. ante Brunckium et Suidas.

V. 738. Scribebatur *νῦν*.

V. 739. *βαδιστέον ἄρ'* edd. ante Brunckium, qui *τ' ἄρ'* dedit.

V. 741. *ληρύκαιναν* Aldina et Iuntina secunda.

V. 742. *ἀνάγκην* Laur.

V. 744. *σήμερον* edd. ante Brunckium et Ravennas.

V. 745. *εὐωχησόμεθα* edd. veteres et Laur.

V. 747. *τουτογί* Koenius ad Gregor. p. 134. et Bentleius; *τοῦτο τί* edd. ante Brunckium.

ἵνα τῶν νέων ἔχωσιν ἁσταὶ τὰς ἀκμάς.
καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν Κύπριν,
ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον
κατωγάκῃ τὸν χοῖρον ἀποστειλμένας.

ΒΛΕΠΥΡΟΣ.

φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον,
ἵν' ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί·
τὸν τῆς στρατηγοῦ κοῦτον οὐ θαυμάζετε;

V. 748. ἔχωμεν Brunckius tacito edidit ex Scaligeri excerptis. ἁσταὶ Elmsleius: libri αὗται.

V. 752. Suidas in κατωγάκης. κατωγάκῃ edd. veteres et Suidas.

V. 753. νῦν edd. ante Brunckium. παρακολουθῶν Laur. et Iunt. prima.

V. 754. μα Monac.

ΑΝΗΡ Α.

οὐδαμῶς.

ΑΝΗΡ Β.

τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως; οὔ τι μὴ
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;

ΑΝΗΡ Α.

μὰ Δί' ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
εἰς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους.

ΑΝΗΡ Β.

μέλλεις ἀποφέρειν;

ΑΝΗΡ Α.

πάνυ γε.

ΑΝΗΡ Β.

κακοδαίμων ἄρ' εἶ
νὴ τὸν Δία τὸν σωτῆρα.

ΑΝΗΡ Α.

πῶς;

ΑΝΗΡ Β.

πῶς; ῥᾳδίως.

ΑΝΗΡ Α.

τί δ'; οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;

ΑΝΗΡ Β.

ποίοισιν ὦ δύστηνε;

ΑΝΗΡ Α.

τοῖς δεδογμένοις.

V. 784. *στίχου* Iuntina secunda et Priscianus XVIII. p. 1196. (vol. II. p. 236. Krehl.) *οὕτως* Iuntina prima. *οὕτος* Monac. Ald. Iunt. secunda et Priscianus. *οὔ τι μὴ*] *οὔ τί που* Brunckius.

V. 785. *πομπὴν πέμπετε* Laur. D et Iunt. prima. *πομπὴ πέμπεται* Ald. *πομπὴ πέμπετε* Iuntina secunda et Priscianus.

V. 786. *ἀλλὰ φέρειν* Ravennas, Laur. et *Vet.* in Scaligeri excerptis.

V. 787. *εἰς* Ald. et Iuntinae. *ἐς* Laur. et Brunckius. *διδαγμένους* Laur.

V. 790. *με* om. Laur.

ΑΝΗΡ Β.

δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.

ΑΝΗΡ Α.

ἀνόητος;

ΑΝΗΡ Β.

οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
ἁπαξαπάντων.

ΑΝΗΡ Α.

ὅτι τὸ ταττόμενον πρωῖ;
τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα
μάλιστα πάντων.

ΑΝΗΡ Β.

τὸν μὲν οὖν ἀβέλτερον.

ΑΝΗΡ Α.

σὺ δ' οὐ καταθεῖναι διανοεῖ;

ΑΝΗΡ Β.

φυλάξομαι,
πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.

ΑΝΗΡ Α.

τί γὰρ ἄλλο γ' ἢ φέρειν παρεσκευασμένοι
τὰ χρήματ' εἰσίν;

ΑΝΗΡ Β.

ἀλλ' ἰδὼν ἐπειθόμην.

ΑΝΗΡ Α.

λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς.

ΑΝΗΡ Β.

λέξουσι γάρ.

ΑΝΗΡ Α.

καὶ φασὶν οἴσειν ἀράμενοι.

ΑΝΗΡ Β.

φήσουσι γάρ.

V. 794. 795. ποῶ et ποεῖν Laur.
V. 797. οὐ] οὐδὲ Ravennas.
V. 798. πρίν γ' ἄν Laur. βούλεται Iunt. prima.
V. 800. ἄν ἐπιθόμην Brunckius.

ΑΝΗΡ Α.

ἀπολεῖς ἀπιστῶν πάντ'.

ΑΝΗΡ Β.

ἀπιστήσουσι γάρ.

ΑΝΗΡ Α.

ὁ Ζεύς σέ γ' ἐπιτρίψειεν.

ΑΝΗΡ Β.

ἐπιτρίψουσι γάρ.

οἴσειν δοκεῖς τιν' ὅςτις αὐτῶν νοῦν ἔχει;
οὐ γὰρ πάτριον τοῦτ' ἐστὶν, ἀλλὰ λαμβάνειν
ἡμᾶς μόνον δεῖ νὴ Δία. καὶ γὰρ οἱ θεοὶ
γνώσει δ' ἀπὸ τῶν χειρῶν γε τῶν ἀγαλμάτων·
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθὰ,
ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν,
οὐχ ὥς τι δώσοντ', ἀλλ' ὅπως τι λήψεται.

ΑΝΗΡ Α.

ὦ δαιμόνι' ἀνδρῶν, ἔα με τῶν προὔργου τι δρᾶν.
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοῦσθ' ἱμάς;

ΑΝΗΡ Β.

ὄντως γὰρ οἴσεις;

V. 803. πάντ' om. Laur.

V. 804. ὁ ζεύς σέ γ' ἐπιτρ. Laur. et Brunckius. ὁ ζεύς σ' ἐπιτρ. Ald. et Iunt. prima. ὁ ζεὺς ἐπιτρ. Iunt. secunda.

V. 805. Ἀν. οἴσειν —. Φει. ὅςτις —. Ἀν. οὐ γὰρ —. Φει. ἀλλὰ —. Ἀν. νὴ Δία —. Ἀν. ὦ δαιμόνι' —. Ald. et Iuntinae. Correctum ab Kustero et aliis. τιν'] τίνες Laur.

V. 807. οἱ om. Laur. Monac.

V. 808. τῶν om. Laur. χειρῶν γε τῶν ἀγαλμάτων Reiskius. χειρῶν τε τῶν ἀγαλμάτων Ravennas. χειρῶν τε καὶ τἀγάλματα Laur. D et Iuntina prima. χειρῶν τε καὶ. omisso ἀγαλμάτων, Monac. Ald. et Iuntina secunda.

V. 809. εὐχώμεθα Laur. et Iuntina prima.

V. 811. ὥς τι] ὥςτε Kusteri et Brunckii edd. δώσοντες Laur. et Iunt. prima.

V. 812. ἔα με] σύ γε ἔα D. σύ γ' ἔμ' ἔα Brunckius. ἔα omisso με Iunt. prima.

V. 813. συνδοτέα Ald. et Iuntina secunda.

ΑΝΗΡ Α.

ναὶ μὰ Δία, καὶ δὴ μὲν οὖν
τωδὶ ξυνάπτω τὼ τρίποδε.

ΑΝΗΡ Β.

τῆς μωρίας,
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν, εἶτα τηνικαῦτ' ἤδη

ΑΝΗΡ Α.

τί δρᾶν;

ΑΝΗΡ Β.

ἐπαναμένειν· ἔπειτα διατρίβειν ἔτι.

ΑΝΗΡ Α.

ἵνα δὴ τί;

ΑΝΗΡ Β.

σεισμὸς εἰ γένοιτο πολλάκις,
ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ,
παύσαιντ' ἂν εἰσφέροντες ὠμβρόντητε σύ.

ΑΝΗΡ Α.

χαίροντα γοῦν πάθοιμ' ἄν, εἰ μὴ χοιμ' ὅποι
ταῦτα καταθείην.

ΑΝΗΡ Β.

μὴ γὰρ οὐ λάβοις ὅποι.
θάρρει, καταθήσεις, κἂν ἔνης ἔλθῃς.

V. 816. τὸ δὲ μὴ π. Laur. et Iunt. prima.

V. 817. ὀρᾷν Iunt. secunda. ὀρᾷς Monac. Ald. Iunt. prima.

V. 819. 820. Suidas in σύμβολα.

V. 819. εἰ γένηται Laur.

V. 820. διάξειεν Iuntina secunda. διαΐξειε Suidas. διΐξειεν Ald. et Iunt. prima.

V. 821. ἄν] ἀρ' Ravennas.

V. 822. πύθοιμ' Laur. Monac. Iunt. prima.

V. 823. καταθείην Brunckius. Libri καταθείμην (—οίμην Laur.). λάβῃς Heindorfius ad Plat. Phaedon. p. 36.

V. 824. θάρσει κατατεύξῃ Suidas in ἔνῃ. ἔνην D. ἔνῃς ceteri libri et Suidas.

ΑΝΗΡ Α, Ο ΚΑΤΑΘΕΙΣ. ΑΝΗΡ Β, Ο ΜΗ ΚΑΤΑΘΕΙΣ. ΚΗΡΥΞ. ΧΟΡΟΣ.

ΑΝΗΡ Α.

Ἐγὼ δ', ἵν' εἰς ἀγοράν γε τὰ σκεύη φέρω,
προχειριοῦμαι κἀξετάσω. τὴν αὐσίαν.
χώρει σὺ δεῦρο κιναχύρα καλὴ καλῶς
τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
ὅπως ἂν ἐντετριμμένη κανηφορῇς,
πολλοὺς κάτω δὴ θυλάκους στρέψασ' ἐμούς.
ποῦ 'σθ' ἡ διφροφόρος; ἡ χύτρα δεῦρ' ἔξιθι,
νὴ Δία μέλαινά γ', οὐδ' ἂν εἰ τὸ φάρμακον
ἔψουσ' ἔτυχες ᾧ Λυσικράτης μελαίνεται.
ἵστω παρ' αὐτήν, δεῦρ' ἴθ' ἡ κομμώτρια·
φέρε δεῦρο ταύτην τὴν ὑδρίαν ὑδριαφόρε
ἐνταῦθα· σὺ δὲ δεῦρ' ἡ κιθαρῳδὸς ἔξιθι,

V. 756. 757. Praxagorae tribuunt edd. veteres. Correctum ab Fabro.

V. 756. γε] τε Monac.

V. 758. σὺ om. Laur.

V. 760. Suidas in ἐντετριμμένη.

V. 761. στέψασ' Scaligeri excerpta.

V. 763. 764. Suidas in Λυσικράτης et φάρμακον.

V. 763. εἰ Suidas et Iuntina secunda et Scaligeri excerpta. εἰς Monac., Aldina et Iunt. prima.

V. 764. ἔψουσ' Suidas in Λυσικράτης, qui altero loco hoc verbum omisit. Scribebatur ἑψοῦσ'. Iuntina prima Ἐψουσ', Recte scriptum v. 873. ἔτυχ' Laur. et Iunt. prima.

V. 765. ἴθ' ἡ Ravennas, Laur. et D. ἴθι edd. ante Brunckium et Suidas in ἵστω.

V. 766. φέρε Laur.

πολλάκις ἀναστῆσασά μ' εἰς ἐκκλησίαν
ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον.
ὁ τὴν σκάφην λαβὼν πορεύου, τὰ κηρία
κόμιζε, φαὺς θαλλοὺς καθίστη πλησίον,
καὶ τῷ τρίποδ' ἐξένεγκε καὶ τὴν λήκυθον·
τὰ χυτρίδι' ἤδη καὶ τὸν ὄχλον ἀφίετε.

ΑΝΗΡ Β.

ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
ἀνὴρ ἔσομαι καὶ νοῦν ὀλίγον κεκτημένος.
μὰ τὸν Ποσειδῶ οὐδέποτέ γ', ἀλλὰ βασανιῶ
πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει.
οὗτος, τί τὰ σκευάρια ταυτὶ βούλεται;
πότερον μετοικιζόμενος ἐξενήνοχας
αὖτ', ἢ φέρεις ἐνέχυρα θήσων;

V. 768, 769. Suidas in ὄρθριος νόμος.

V. 769. Legebatur *νυκτῶν*. *νύκτωρ* Ravennas, Scaligeri excerpta et Suidae MS. Oxon. *ἀωρὶ τῶν νυκτῶν* sine scriptoris nomine affert Suidas in *ἀωρία*, quocum conf. Bekkeri Anecd. p. 476, 11. Vid. Hemsterhus. ad Thomam Mag. p. 137.

V. 770. ὁ om. Laur. et Iunt. prima.

V. 771. *θαλλοὺς καθίστη* libri scripti omnes, *θαλλοῦς καὶ καθίστη* oratione aliter distincta edd. ante Brunckium.

V. 772. *τρίποδ'*] *τρίβ'* Monac. Attulit hunc versum Pollux X. 80.

V. 774. *ἀνὴρ φειδωλὸς* praefixit Monac.: *Ἀν.* Aldina et Iuntina prima; *Φει.* Iuntina secunda, consentientibus infra Ald. et Iunt. prima. *κακοδαίμων ἄρα ἀνὴρ ἔσομαι* libri scripti omnes et Iuntina prima. *κακοδαίμων ἄρα | ἔσομαι* Aldina. *κακοδαίμων ἀνὴρ | ἔσομαι* Iuntina secunda.

V. 776. *οὐδέποτέ γ'* Porsonus in Adversar. p. 36. Legebatur *γ' οὐδέποτ'*.

V. 779. οὕτως ex Suida in *οὐδὲν πρὸς ἔπος* et *οὕτοσὶ* addidit Kusterus: om. Laur. Ald. et Iuntinae.

V. 780. *πρὶν ἐκπύθωμαι* libri et Suidas in *οὐδὲν πρὸς ἔπος*. *πρὶν ἂν ἐκπύθωμαι* Elmsleius ad Medeam. p. 119, et Porsonus.

ΑΝΗΡ Α.

οὐδαμῶς.

ΑΝΗΡ Β.

τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως; οὔ τι μὴ
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;

ΑΝΗΡ Α.

μὰ Δί' ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
εἰς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους.

ΑΝΗΡ Β.

μέλλεις ἀποφέρειν;

ΑΝΗΡ Α.

πάνυ γε.

ΑΝΗΡ Β.

κακοδαίμων ἄρ' εἶ
νὴ τὸν Δία τὸν σωτῆρα.

ΑΝΗΡ Α.

πῶς;

ΑΝΗΡ Β.

πῶς; ῥᾳδίως.

ΑΝΗΡ Α.

τί δ'; οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;

ΑΝΗΡ Β.

ποίοισιν ὦ δύστηνε;

ΑΝΗΡ Α.

τοῖς δεδογμένοις.

V. 784. *στίχου* Iuntina secunda et Priscianus XVIII. p. 1196. (vol. II. p. 236. Krehl.) οὕτως Iuntina prima, οὑτος Monac. Ald. Iunt. secunda et Priscianus. *οὔ τι μὴ*] *οὔ τί που* Bruncknius.

V. 785. *πομπὴν πέμπετε* Laur. D et Iunt. prima, *πομπὴ πέμπεται* Ald. *πομπὴ πέμπετε* Iuntina secunda et Priscianus.

V. 786. *ἀλλὰ φέρειν* Ravennas, Laur. et *Vet.* in Scaligeri excerptis.

V. 787. εἰς Ald. et Iuntinae. ἐς Laur. et Bruncknius. *διδαγμένους* Laur.

V. 790. *με* om. Laur.

ΑΝΗΡ Β.

δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.

ΑΝΗΡ Α.

ἀνόητος;

ΑΝΗΡ Β.

οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
ἁπαξαπάντων.

ΑΝΗΡ Α.

ὅτι τὸ ταττόμενον πρωῖ;
τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα
μάλιστα πάντων.

ΑΝΗΡ Β.

τὸν μὲν οὖν ἀβέλτερον.

ΑΝΗΡ Α.

σὺ δ' οὐ καταθεῖναι διανοεῖ;

ΑΝΗΡ Β.

φυλάξομαι,
πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.

ΑΝΗΡ Α.

τί γὰρ ἄλλο γ' ἢ φέρειν παρεσκευασμένοι
τὰ χρήματ' εἰσίν;

ΑΝΗΡ Β.

ἀλλ' ἰδὼν ἐπειθόμην.

ΑΝΗΡ Α.

λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς.

ΑΝΗΡ Β.

λέξουσι γάρ.

ΑΝΗΡ Α.

καὶ φασὶν οἴσειν ἀράμενοι.

ΑΝΗΡ Β.

φήσουσι γάρ.

V. 794. 795. ποῶ et ποεῖν Laur.
V. 797. οὔ] οὐδὲ Ravennas.
V. 798. πρίν γ' ἄν Laur. βούλεται Iunt. prima.
V. 800. ἄν ἐπιθόμην Brunckius.

ΑΝΗΡ Α.

ἀπολεῖς ἁπάντων πάντ᾽

ΑΝΗΡ Β.

ἀπιστήσουσι γάρ.

ΑΝΗΡ Α.

ὁ Ζεὺς σὲ γ᾽ ἐπιτρίψειεν.

ΑΝΗΡ Β.

ἐπιτρίψουσι γάρ.

οἴσειν δοκεῖς τιν᾽ ὅστις αὐτῶν νοῦν ἔχει;
οὐ γὰρ πάτριον τοῦτ᾽ ἐστὶν, ἀλλὰ λαμβάνειν
ἡμᾶς μόνον δεῖ νὴ Δία. καὶ γὰρ οἱ θεοὶ
γνώσει δ᾽ ἀπὸ τῶν χειρῶν γε τῶν ἀγαλμάτων·
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθὰ,
ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ᾽ ὑπτίαν,
οὐχ ὥς τι δώσοντ᾽, ἀλλ᾽ ὅπως τι λήψεται.

ΑΝΗΡ Α.

ὦ δαιμόνι᾽ ἀνδρῶν, ἔα με τῶν πρόσθεν τι δρᾶν.
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοῦσθ᾽ ἡμᾶς;

ΑΝΗΡ Β.

ὄντως γὰρ οἴσεις;

V. 803. πάντ᾽ om. Laur.

V. 804. ὁ ξεὺς σέ γ᾽ ἐπιτρ. Laur. et Brunckius. ὁ ζεὺς σ᾽ ἐπιτρ. Ald. et Iunt. prima. ὁ ζεὺς ἐπιτρ. Iunt. secunda.

V. 805. Ἀν. οἴσειν —. Φει. ὅστις —. Ἀν. οὐ γὰρ —. Φει. ἀλλὰ —. Ἀν. νὴ Δία —. Ἀν. ὦ δαιμόνι᾽ —. Ald. et Iuntinae. Correctum ab Kustero et aliis. τιν᾽] τίνες Laur.

V. 807. οἱ om. Laur. Monac.

V. 808. τῶν om. Laur. χειρῶν γε τῶν ἀγαλμάτων Reiskius. χειρῶν τε τῶν ἀγαλμάτων Ravennas. χειρῶν τε καὶ τἀγάλματα Laur. D et Iuntina prima. χειρῶν τε καὶ. omisso ἀγαλμάτων, Monac. Ald. et Iuntina secunda.

V. 809. εὐχώμεθα Laur. et Iuntina prima.

V. 811. ὥς τι] ὥστε Kusteri et Brunckii edd. δώσοντες Laur. et Iunt. prima.

V. 812. ἔα με] σύ γε ἔα D. σύ γ᾽ ἔμ᾽ ἔα Brunckius. ἔα omisso με Iunt. prima.

V. 813. συνδοτέα Ald. et Iuntina secunda.

ΑΝΗΡ Α.

ναὶ μὰ Δία, καὶ δὴ μὲν οὖν
τωδὶ ξυνάπτω τὼ τρίποδε.

ΑΝΗΡ Β.

τῆς μωρίας,
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν, εἶτα τηνικαῦτ' ἤδη

ΑΝΗΡ Α.

τί δρᾶν;

ΑΝΗΡ Β.

ἐπαναμένειν· ἔπειτα διατρίβειν ἔτι.

ΑΝΗΡ Α.

ἵνα δὴ τί;

ΑΝΗΡ Β.

σεισμὸς εἰ γένοιτο πολλάκις,
ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ,
παύσαιντ' ἂν εἰσφέροντες ὠμβρόντητε σύ.

ΑΝΗΡ Α.

χαρίεντα γοῦν πάθοιμ' ἄν, εἰ μὴ χοιμ' ὅποι
ταῦτα καταθείην.

ΑΝΗΡ Β.

μὴ γὰρ οὐ λάβοις ὅποι.
θάρρει, καταθήσεις, κἂν ἔνης ἔλθῃς.

V. 816. τὸ δὲ μὴ π. Laur. et Iunt. prima.

V. 817. ὁρᾶν Iunt. secunda. ὁρῇς Monac. Ald. Iunt. prima.

V. 819. 820. Suidas in σίμβολα.

V. 819. εἰ γένηται Laur.

V. 820. διάξειεν Iuntina secunda. διαΐξειε Suidas. διΐξειεν Ald. et Iunt. prima.

V. 821. ἂν] ἀρ' Ravennas.

V. 822. πύθοιμ' Laur. Monac. Iunt. prima.

V. 823. καταθείην Brunckius. Libri καταθείμην (—οίμην Laur.). λάβῃς Heindorfius ad Plat. Phaedon. p. 36.

V. 824. θάρσει κατατεύξῃ Suidas in ἔνῃ. ἔνην D. ἔνῃς ceteri libri et Suidas.

ΑΝΗΡ Α.

τιή;

ΑΝΗΡ Β.

825 ἐγῷδα τούτους χειροτονοῦντας μὲν ταχὺ,
ἅττ' ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους.

ΑΝΗΡ Α.

οἴσουσιν ὦ τᾶν.

ΑΝΗΡ Β.

ἢν δὲ μὴ κομίσωσι, τί;

ΑΝΗΡ Α.

ἀμέλει κομιοῦσιν.

ΑΝΗΡ Β.

ἢν δὲ μὴ κομίσωσι, τί;

ΑΝΗΡ Α.

μαχούμεθ' αὐτοῖς.

ΑΝΗΡ Β.

ἢν δὲ κρείττους ὦσι, τί;

ΑΝΗΡ Α.

830 ἄπειμ' ἐάσας.

ΑΝΗΡ Β.

ἢν δὲ πωλῶσ' αὐτά, τί;

ΑΝΗΡ Α.

διαρραγείης.

ΑΝΗΡ Β.

ἢν διαρραγῶ δὲ, τί;

ΑΝΗΡ Α.

καλῶς ποιήσεις.

ΑΝΗΡ Β.

σὺ δ' ἐπιθυμήσεις φέρειν;

ΑΝΗΡ Α.

ἔγωγε· καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
ὁρῶ φέροντας.

V. 825. ταχὺ Ravennas et Suidas. Legebatur ταχεῖς.
V. 828. 829. ἢν — αὐτοῖς om. Laur.
Versum 830. om. Laur.

ΑΝΗΡ Β.

πάνυ γ' ἂν οὖν Ἀντισθένης
αὖτ' εἰσενέγκοι· πολὺ γὰρ ἐμμελέστερον
πρότερον χέσαι πλεῖν ἢ τριάκονθ' ἡμέρας.

ΑΝΗΡ Α.

οἴμωζε.

ΑΝΗΡ Β.

Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
αὐτοῖσιν εἰσοίσει τί πλεῖον Καλλίου;
ἄνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν.

ΑΝΗΡ Α.

δεινά γε λέγεις.

ΑΝΗΡ Β.

τί δεινόν; ὥςπερ οὐχ ὁρῶν
ἀεὶ τοιαῦτα γιγνόμενα ψηφίσματα.
οὐκ οἶσθ' ἐκεῖν' οὕνεκα, τὸ περὶ τῶν ἁλῶν;

ΑΝΗΡ Α.

ἔγωγε.

ΑΝΗΡ Β.

τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
ἐψηφισάμεθ', οὐκ οἶσθα;

ΑΝΗΡ Α.

καὶ κακόν γέ μοι
τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς

V. 836. πλεῖς Laur. V. 837. δ' om. Ald.

V. 838. τι πλεῖον D et Iuntina prima. τι πλειω Laur. τι πλείω Ravennas, Monac. Ald. Iuntina secunda. In sequentibus versibus 839.—861. personarum notae perturbatae sunt in veteribus edd. quae viro primo tribuunt quae sunt alterius et contra.

V. 839. Scribebatur ὤνθρωπος.

V. 840. δεινά] δεινόν Reisig. Coniect. I. p. 216.

V. 841. ἀεὶ — γινόμενα edd. ante Brunckium.

V. 842. ἐκεῖνα οὕδοξε Laur. ἃ 'δοξε τὰ ex D Brunckius.

V. 843. χαλκοὺς edd. veteres.

V. 844. ἐψηφισάμεθ' D et Iuntina prima. ἐψηφισάμεθα Laur. ἐψηφισάμεσθ' ceteri libri, in hisque Ravennas.

μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων·
κἄπειτ᾽ ἐχώρουν εἰς ἀγορὰν ἐπ᾽ ἄλφιτα.
ἔπειθ᾽ ὑπέχοντος ἄρτι μου τὸν θύλακον,
ἀνέκραγ᾽ ὁ κήρυξ, μὴ δέχεσθαι μηδένα
χαλκὸν τὸ λοιπόν· ἀργύρῳ γὰρ χρώμεθα.

ΑΝΗΡ Β.

τὸ δ᾽ ἔναγχος οὐχ ἅπαντες ἡμεῖς ὤμνυμεν
τάλαντ᾽ ἔσεσθαι πεντακόσια τῇ πόλει
τῆς τετταρακοστῆς, ἣν ἐπόρισ᾽ Εὐριπίδης;
κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην.
ὅτε δὴ δ᾽ ἀνασκοπουμένοις ἐφαίνετο
ὁ Διὸς Κόρινθος καὶ τὸ πρᾶγμ᾽ οὐκ ἤρκεσεν,
πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην.

ΑΝΗΡ Α.

οὐ ταυτὸν ὦ τᾶν. τότε μὲν ἡμεῖς ἤρχομεν,
νῦν δ᾽ αἱ γυναῖκες.

ΑΝΗΡ Β.

ἇς γ᾽ ἐγὼ φυλάξομαι
νὴ τὸν Ποσειδῶ μὴ κατουρήσωσί μου.

V. 846. Pollux IX. 92. γλιαθὸν Monac. Ald. et edd. veteres Pollucis.

V. 847.—850. Suidas in ὑπέχοντος.

V. 849. 850. Pollux IX. 93.

V. 849. ἐνέκραγ᾽ ὁ Iuntina prima. ἐνέκραγε Laur. κῆρυξ Laur. κῆρυξ edd. ante Kusterum.

V. 850. Legebatur χαλκοῦν consentiente Suida. χαλκὸν in Polluce praebuit MS. Iungermanni, qui deinde vitiose ἀργύριον.

V. 851. ἡμεῖς om. Ald. et Iuntina secunda.

V. 853. Scribebatur τεσσαρακοστῆς. ἐπόρισ᾽ Ravennas, D et Scaligeri excerpta, εὐπόρισ᾽ edd. ante Brunckium.

V. 854. κ᾽ εὐθὺς Kusterus. καὐθὺς Ravennas, Laur. Monac. Ald. et Iuntinae.

V. 855. δὴ δ᾽ D. δ᾽ ᾗδ᾽ edd. ante Brunckium ut v. 336. ἐφαίνετο Iuntina prima, quae ἐμφαίνεται dare voluit ut scriptum est in Laur. et D.

V. 856. ἤρεσεν Scaligeri excerpta.

V. 860. κατουρήσουσι Laur. Monac. et Iuntina prima.

ΑΝΗΡ Α.

οὐκ οἶδ' ὅ τι λήρεις. φέρε σὺ τἀνάφορον ὁ παῖς.

ΚΗΡΥΞ.

ὦ πάντες ἀστοὶ, νῦν γὰρ οὕτω ταῦτ' ἔχει,
χωρεῖτ', ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος,
ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅπου δεαπνήσετε·
ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενησμέναι
ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι,
κλῖναί τε σισυρῶν καὶ δαπίδων νενασμέναι.
κρατῆρας οὓς κιρνᾶσιν αἱ μυροπώλιδες,
ἑστᾶσ' ἐφεξῆς· τὰ τεμάχη ῥιπίζεται,
λαγῷ' ἀναπηγνύασι, πόπανα πέττεται,
στέφανοι πλέκονται, φρύγεται τράγήματα·

V. 861. σὺ libri scripti omnes, Scaligeri excerpta et Suidas in ἀνάφορον. σοι edd. ante Brunckium.

V. 863. εὐθὺς Monac.

V. 864. ὑμῖν Faber et Brunckius. Libri ἡμῖν. ἡ τύχη] εἰ τύχοι Ravennas.

V. 865. φράσει Ravennas. ὅποι edd. ante Brunckium, quod non displicuit Elmsleio ad Eurip. Bacch. p. 40.

V. 866. 867. Suidas in ἐπινενασμέναι.

V. 866. Scribebatur ἐπινενασμέναι. Recte Brunckius coniecit ἐπινενησμέναι. Phrynichus in Bekkeri Anecd. I. p. 13, 24. Ἀγαθῶν πάντων ἐπινένηται ἡ τράπεζα: ἀντὶ τοῦ ἐπισεσώρευται, μεμέστωται.

V. 867. πάντων Suidas.

V. 868. νενησμέναι Brunckius. κεκασμέναι Bothius.

V. 869. κρατῆρας οὓς κιρνᾶσιν Porsonus ad Eurip. Orest. 1615. κρατῆρας ἐγκιρνᾶσιν Aldina et Iuntina. κρατῆρα συγκιρνᾶσιν Ravennas. κρατῖνα συγκιρνᾶσιν Laur. D. Monac.

V. 870. ἑστᾶσ' Ravennas, Laur. et Scaligeri excerpta. ἱστασ' D. ἑστῶσ' Aldina et Iuntinae. τὰ δὲ τεμάχη Suidae MS. Oxon. in ῥιπίζεται.

V. 871. πόπανα] Athenaeus III. p. 110. A. μνημονεύει δὲ τοῦ λαγάνου Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις φάσκων „λάγανα πέττεται."

V. 872. φρύγονται Monac. Ald. et Iuntinae. φρύγεται Scaligeri excerpta. φρύσσεται D.

χύτρας ἔτνους ἔψουσιν αἱ νεώταται·
Σμοιὸς δ' ἐν αὐτοῖς ἱππικὴν στολὴν ἔχων
τὰ τῶν γυναικῶν διακαθαίρει τρυβλία.
Γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδα
ἔχων, καχάζων μεθ' ἑτέρου νεανίου·
ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.
πρὸς ταῦτα χωρεῖθ', ὡς ὁ τὴν μᾶζαν φέρων
ἕστηκεν. ἀλλὰ τὰς γνάθους διοίγνυτε.

ΑΝΗΡ Β.

οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηχ' ἔχων
ἐνταῦθ', ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ;

ΑΝΗΡ Α.

καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν;

ΑΝΗΡ Β.

ἐπὶ δεῖπνον.

ΑΝΗΡ Α.

οὐ δῆτ', ἤν γ' ἐκείναις νοῦς ἐνῇ,
πρίν γ' ἂν ἀπενέγκῃς.

ΑΝΗΡ Β.

ἀλλ' ἀποίσω.

V. 874. 875. Suidas in *Σμοιός*.

V. 874. *σμυὸς* Laur. et Iuntina prima.

V. 875. *τρυβλία* Suidas. *τρύβλια* Monac. et edd. ante Brunckium.

V. 876. Ineptum est quod scribebatur *γέρων*. Ego ut nomen hominis desiderari indicarem maiuscula littera usus sum praeeunte Iuntina secunda. Scribendum vero videtur *Γέρης*, cuius tum alibi mentio fit tum infra v. 963. *κονίποδα*] *κονίποδας* Brunckius. Poterat non minus speciose *κονίποδε*.

V. 877. *καχάζων* D. *καγχάζων* edd. ante Brunckium. *νεανίδου* Laur. et Iuntina prima.

V. 880. *διοίγνετε* Laur. Monac. Iuntina prima. *διοιγνύετε* Ravennas.

V. 882. *ἐπειδὴ τῇ πόλει ταῦτα* Laur. *ἐπειδὴ τῇ πόλει ταυτὶ* D.

V. 885. *πρὶν γ' ἂν* D, Brunckius. *ἂν* om. Laur. Monac. edd. ante Brunckium. *πρὶν ἄν γ'* maluit Porsonus. *ἀπενέγκῃς* Portus

ΑΝΗΡ Α.

πηνίκας;

ΑΝΗΡ Β.

οὐ τοὐμόν. ὧν τᾶν ἐμποδὼν ἔσται.

ΑΝΗΡ Α.

τί δή;

ΑΝΗΡ Β.

ἑτέρους ἀποίσειν φημὶ ἔΘ' ὑστέρους ἐμοῦ.

ΑΝΗΡ Α.

βαδιεῖ δὲ δειπνήσων ὅμως;

ΑΝΗΡ Β.

τί γὰρ πάθω;

τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
τοὺς εὖ φρονοῦντας.

ΑΝΗΡ Α.

ἢν δὲ κωλύσωσι, τί;

ΑΝΗΡ Β.

ὁμόσ' εἶμι κύψας.

ΑΝΗΡ Α.

ἢν δὲ μαστιγῶσι, τί;

ΑΝΗΡ Β.

καλοῦμεθ' αὐτάς.

ΑΝΗΡ Α.

ἢν δὲ καταγελῶσι, τί;

ΑΝΗΡ Β.

ἐπὶ ταῖς θύραις ἑστὼς

ΑΝΗΡ Α.

τί δράσεις; εἰπέ μοι.

---

et Kusterus. ἀπενεικῃς Monac. Ald. et Iuntinae. ἀπὸ νίκης Laur. πηνίκα D. ὁπηνίκα Monac. et edd. ante Brunckium.

V. 888. ὅμως Iunt. prima. ὅπως Monac. Ald. et Iuntina secunda.

V. 892. Suidas, καλούμεθ' αὐτοῦ: ἀντὶ τοῦ εἰς δικαστήριον ἄξομεν. „αὐτὰς, *ut videtur, MS. Oxon.*" Porson.

ΑΝΗΡ Α.

ἀπολεῖς ἅπαντ' ἄπιστον πάντ'.

ΑΝΗΡ Β.

ἀπιστήσουσι γάρ.

ΑΝΗΡ Α.

ὁ Ζεὺς σέ γ' ἐπιτρίψειεν.

ΑΝΗΡ Β.

ἐπιτρίψουσι γάρ.

οἴσειν δοκεῖς τιν' ὅστις αὐτῶν νοῦν ἔχει;
οὐ γὰρ πάτριον τοῦτ' ἐστὶν, ἀλλὰ λαμβάνειν
ἡμᾶς μόνον δεῖ νὴ Δία. καὶ γὰρ οἱ θεοὶ
γνώσει δ' ἀπὸ τῶν χειρῶν γε τῶν ἀγαλμάτων·
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθὰ,
ἔστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν,
οὐχ ὥς τι δώσοντ', ἀλλ' ὅπως τι λήψεται.

ΑΝΗΡ Α.

ὦ δαιμόνι' ἀνδρῶν, ἔα με τῶν πρὸς ἔργου τι δρᾶν.
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοῦσα; ἵμας;

ΑΝΗΡ Β.

οὕτως γὰρ οἴσεις;

V. 803. πάντ' om. Laur.

V. 804. ὁ ζεὺς σέ γ' ἐπιτρ. Laur. et Brunckius. ὁ ζεὺς σ' ἐπιτρ. Ald. et Iunt. prima. ὁ ζεὺς ἐπιτρ. Iunt. secunda.

V. 805. Ἀν. οἴσειν —. Φει. ὅστις —. Ἀν. οὐ γὰρ —. Φει. ἀλλὰ —. Ἀν. νὴ Δία —. Ἀν. ὦ δαιμόνι' —. Ald. et Iuntinae. Correctum ab Kustero et aliis. τιν'] τίνες Laur.

V. 807. οἱ om. Laur. Monac.

V. 808. τῶν om. Laur. χειρῶν γε τῶν ἀγαλμάτων Reiskius. χειρῶν τε τῶν ἀγαλμάτων Ravennas. χειρῶν τε καὶ τἀγάλματα Laur. D et Iuntina prima. χειρῶν τε καὶ. omisso ἀγαλμάτων, Monac. Ald. et Iuntina secunda.

V. 809. εὐχώμεθα Laur. et Iuntina prima.

V. 811. ὥς τι] ὥστε Kusteri et Brunckii edd. δώσοντες Laur. et Iunt. prima.

V. 812. ἔα με] σύ γε ἔα D. σύ γ' ἔμ' ἔα Brunckius. ἔα omisso με Iunt. prima.

V. 813. συνδοτέα Ald. et Iuntina secunda.

ΑΝΗΡ Α.

ναὶ μὰ Δία, καὶ δὴ μὲν οὖν
τωδὶ ξυνάπτω τὼ τρίποδε.

ΑΝΗΡ Β.

τῆς μωρίας,
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν, εἶτα τηνικαῦτ' ἤδη

ΑΝΗΡ Α.

τί δρᾶν;

ΑΝΗΡ Β.

ἐπαναμένειν· ἔπειτα διατρίβειν ἔτι.

ΑΝΗΡ Α.

ἵνα δὴ τί;

ΑΝΗΡ Β.

σεισμὸς εἰ γένοιτο πολλάκις,
ἢ πῦρ ἀπότροπον, ἢ διᾶξειεν γαλῆ,
πάνσαιντ' ἂν εἰσφέροντες ὠμβρόντητέ σύ.

ΑΝΗΡ Α.

χαρίεντα γοῦν πάθοιμ' ἄν, εἰ μὴ χοιμ' ὅποι
ταῦτα καταθείην.

ΑΝΗΡ Β.

μὴ γὰρ οὐ λάβοις ὅποι.
θάρρει, καταθήσεις, κἂν ἔνης ἔλθῃς.

V. 816. τὸ δὲ μὴ π. Laur. et Iunt. prima.

V. 817. ὁρᾷν Iunt. secunda. ὁρᾷς Monac. Ald. Iunt. prima.

V. 819. 820. Suidas in σύμβολα.

V. 819. εἰ γένηται Laur.

V. 820. διάξειεν Iuntina secunda. διαλξειε Suidas. διἰξειεν Ald. et Iunt. prima.

V. 821. ἄν] ἀρ' Ravennas.

V. 822. πύθοιμ' Laur. Monac. Iunt. prima.

V. 823. καταθείην Brunckius. Libri καταθείμην (—οίμην Laur.). λάβῃς Heindorfius ad Plat. Phaedon. p. 56.

V. 824. θάρσει κατατεύξη Suidas in ἔνῃ. ἔνην D. ἔνῃς ceteri libri et Suidas.

ΑΝΗΡ Α.

τιή;

ΑΝΗΡ Β.

εγῲδα τούτους χειροτονοῦντας μὲν ταχὺ,
ἅττ' ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους.

ΑΝΗΡ Α.

οἴσουσιν ὦ τᾶν.

ΑΝΗΡ Β.

ἢν δὲ μὴ κομίσωσι, τί;

ΑΝΗΡ Α.

ἀμέλει κομιοῦσιν.

ΑΝΗΡ Β.

ἢν δὲ μὴ κομίσωσι, τί;

ΑΝΗΡ Α.

μαχούμεθ' αὐτοῖς.

ΑΝΗΡ Β.

ἢν δὲ κρείττους ὦσι, τί;

ΑΝΗΡ Α.

ἄπειμ' ἐάσας.

ΑΝΗΡ Β.

ἢν δὲ πωλῶσ' αὐτά, τί;

ΑΝΗΡ Α.

διαρραγείης.

ΑΝΗΡ Β.

ἢν διαρραγῶ δὲ, τί;

ΑΝΗΡ Α.

καλῶς ποιήσεις.

ΑΝΗΡ Β.

σὺ δ' ἐπιθυμήσεις φέρειν;

ΑΝΗΡ Α.

ἔρρωγε· καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
ὁρῶ φέροντας.

V. 825. ταχὺ Ravennas et Suidas. Legebatur ταχεῖς.
V. 828. 829. ἢν — αὐτοῖς om. Laur.
Versum 830. om. Laur.

κἀπὶ τῆς κλίνης ὄφιν
εὕροις καὶ προσελκύσαιο
βουλομένη φιλῆσαι.

ΝΕΑΝΙΣ.

αἰαῖ, τί ποτε πείσομαι;
οὐχ ἥκει μοὐταῖρος·
μόνη δ' αὐτοῦ λείπομ'· ἡ
γάρ μοι μήτηρ ἄλλη βέβηκε
καὶ τἄλλ' οὐδέν με ταῦτα δεῖ λέγειν.
ἀλλ' ὦ μαῖ· ἱκετεύομαι,
κάλει τὸν Ὀρθαγόραν, ὅπως
σαυτῆς κατόναι', ἀπιβολῶ σε.

ΓΡΑΥΣ Α.

ἤδη τὸν ἀπ' Ἰωνίας
τρόπον τἀλαινα κνησιᾷς·
δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς Λεσβίους.

V. 939. Versus non integer. προσελκύσαιο Ald. et Iuntina prima. προσελκύσοιο Iunt. secunda. προσελκύσαι Laur. προσελκύσαις D.

V. 941.—948. = 949.—954.

V. 941. πειράσομαι Laur. D.

Versuum 942.—948. emendationem satis probabilem neque ego inveni neque ab aliis allatam vidi. Hermannus et Reisigius quas vias inierint vide in Elem. doctr. metr. p. 745. et in Coniectan. I. p. 320.

V. 942. μου ταῖρος Ravennas et Reiskius. μου τοῦρος Monac. Ald. et Iuntinae.

V. 943. Brunckius λείπομαι. | ἡ γάρ—.

V. 944. ἄλλη edd. ante Kusterum. βέβηκεν Laur. Monac.

V. 945. οὐδέν με ταῦτα Monac. Ald. et Iuntina secunda. οὐδέν μεταταῦτα (sic) Iuntina prima. οὐδὲν μετὰ ταῦτα D. Kusterus οὐδέν με ταῦτα retinuit, ad quod nihil diversitatis enotatum ex Laur. ut dubitari possit an Iuntinae primae scriptura errori typothetico debeatur. δεῖ λέγειν om. Laur. et D. Trimetrum versui 951. respondentem Reisigius I. p. 320. hunc fecit correctione non improbabili βέβηκεν· ἄλλ' οὐδέν με ταῦτα δεῖ λέγειν.

V. 946. ἱκετεύομαι] ἱκετεύω Brunckii editio. ἱκετεύομεν κά | λει — ὅπως | σαυτῆς ἂν κατ. ἀ. σε Hermannus.

V. 947. ὅπως] οὕτω Faber.

ἀλλ᾽ οὐκ ἄν ποθ᾽ ὑφαρπάσαιο
τἀμὰ παίγνια· τὴν δ᾽ ἐμὴν
ὥραν οὐκ ἀπολεῖς οὐδ᾽ ἀπολήψει.

ΝΕΑΝΙΣ.

ἆδ᾽ ὁπόσα βούλει καὶ παράκυφθ᾽ ὥσπερ γαλῆ·
οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ᾽ ἀντ᾽ ἐμοῦ.

ΓΡΑΥΣ Α.

οὔκουν ἐπ᾽ ἐκφοράν γε.

ΝΕΑΝΙΣ.

καινόν γ᾽ ὦ σκαρά.

ΓΡΑΥΣ Α.

οὐ δῆτα.

ΝΕΑΝΙΣ.

τί γὰρ ἂν γραῒ καινά τις λέγοι;

ΓΡΑΥΣ Α.

οὐ τουμὸν ὀδυνήσει σε γῆρας.

ΝΕΑΝΙΣ.

ἀλλὰ τί;
ἡ ᾽γχουσα μᾶλλον καὶ τὸ σὸν ψιμύθιον;

ΓΡΑΥΣ Α.

τί μοι διαλέγει;

ΝΕΑΝΙΣ.

σὺ δὲ τί διακύπτεις;

V. 952. ὑφαρπάσαις Scaligeri excerpta.

V. 955. παράκυφθ᾽ ὥσπερ Ravennas. παρᾴκυφθ᾽ ὥσπερ Monac. παράκυφ᾽ ὅσπερ Aldina et Iuntina secunda. παράκυφ᾽ ὡς Laur. D. et Iunt. prima.

V. 956. ὡς excidit in Iuntina prima.

V. 957. ἐπ᾽ ἐκφοράν] ἐκπεφόραν Laur. Monac. γε et γ᾽ om. Laur.

V. 958. γραῖ (sic) καινά Ravennas. γρακαῖνά Laur. γρᾶ καινά Monac. γραῦς μαινάς D. γραῦς τάλαινα Ald. et Iuntina.

V. 960. Γρ. ἡ ᾽γχουσα —. Νε. τί μοι —. Γρ. σὺ δὲ —. Νε. ἐγώ; Γρ. ἆδω — φίλῳ edd. ante Brunckium. Correxit etiam Bentleius.

V. 960. Suidas in ἄγχουσα. ψιμύθιον Laur. et Brunckius. ψιμμύθιον Suidas et edd. ante Brunckium.

ΓΡΑΥΣ Α.

ἐγώ;
ἄδη πρὸς ἐμαυτὴν Ἐπαγέτω τὼμῷ φίλῳ.

ΝΕΑΝΙΣ.

σοὶ γὰρ φίλος τις ἐστὶν ἄλλος ἢ Γέρης;

ΓΡΑΥΣ Α.

δείξει γε καὶ σοί. τάχα γὰρ εἶσιν ὡς ἐμέ.

965 ὁδὶ γὰρ αὐτός ἐστιν.

ΝΕΑΝΙΣ.

οὐ σοῦ γ' ὤλεθρε
δεόμενος οὐδέν.

ΓΡΑΥΣ Α.

νὴ Δί' ὦ φθινύλλα σύ.

ΝΕΑΝΙΣ.

δείξει τάχ' αὐτὸς, ὡς ἔγωγ' ἀπέρχομαι.

ΓΡΑΥΣ Α.

κἄγωγ', ἵνα γνῷς ὡς πολὺ σου μεῖζον φρονῶ.

ΝΕΑΝΙΑΣ.

εἶθ' ἑξῆν παρὰ τῇ νεᾳ καθεύδειν,
970 καὶ μὴ 'δει πρότερον διασποδῆσαι
ἀνάσιμον ἢ πρεσβυτέραν·
οὐ γὰρ ἀνασχετὸν τοῦτό γ' ἐλευθέρῳ.

ΓΡΑΥΣ Α.

οἰμώξων ἄρα νὴ Δία σποδήσεις.
οὐ γὰρ ταπὶ Χαριξένης τάδ' ἐστίν.

V. 963. γὰρ] δὲ Suidas in *Γέρης*.
V. 964. δείξει] δόξει Laur. Iunt. prima. δόξῃ Monac.
V. 966. φίνυλλα Monac.
V. 969—972. = 973—976.
V. 970—972. Suidas in *ἀνάσιμόν*.
V. 970. μὴ 'δει Elmsleius. Legebatur μηδὲν. ἀναποδῆσαι Suidas.
V. 971. πρεσβυτέραν Bothius. πρεσβύτερον libri et Suidas.
V. 974. οὐδὲ γὰρ Suidae codex Oxon. in *Χαριξένη*. Ad hunc locum respexerunt Hesychius in *ἐπὶ Χαριξένης* et Etymol. M. p. 367. 21. τάδ' libri et Eustathius p. 526. extr. τάδε γ' Suidas.

κατὰ τὸν νόμον ταῦτα ποιεῖν
ἔστι δίκαιον, εἰ δημοκρατούμεθα.
ἀλλ᾽ εἶμι τηρήσουσ᾽ ὅ τι καὶ δράσει ποτέ.

ΝΕΑΝΙΑΣ.

εἶθ᾽ ὦ θεοὶ λάβοιμι τὴν καλὴν μόνην,
ἐφ᾽ ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.

ΝΕΑΝΙΣ.

ἐξηπάτησα τὸ κατάρατον γράδιον·
φρούδη γάρ ἐστιν οἰομένη μ᾽ ἔνδον μενεῖν.

ΓΡΑΥΣ Α.

ἀλλ᾽ οὐτοσὶ γὰρ αὐτὸς οὔ μεμνήμεθα.
δεῦρο δὴ, δεῦρό δὴ
φίλον ἐμὸν, δεῦρό μοι
πρόσελθε καὶ ξυνένυσόν μοι
τὴν εὐφρόνην ὅπως ἔσει.
πάνυ γάρ τις ἔρως με δονεῖ
τῶνδε τῶν σῶν βοστρύχων.
ἄτοπος δ᾽ ἔγκειταί μοί τις πόθος,
ὅς με διακναίσας ἔχει.

V. 976. ἐστὶ Ald. et Iuntina secunda. ἐστὶν Iuntina prima. εἰ] εἴπερ D.

V. 977. εἶμι] εἰ μὴ Laur. Iuntina prima. δρᾶσει Brunckii editio. δράσεις Ald. et Iuntina secunda. δρᾶσις Iuntina prima. δράσοι Laur.

V. 979. πεπωκὼς Laur. Iunt. prima. πάλαι ποθῶν Ravennas, Ald. Iunt. secunda. ποθῶν πάλαι Laur. D. πάλαι ποθῶν Iunt. prima

V. 981. Scribebatur μένειν.

V. 983.—993. = 994.—1004.

V. 984. ἐμὸν] ἐμοὶ D.

V. 985. μοι recte delet Hermannus.

V. 986. εὐφρόνην Laur. et D. εὐφροσύνην edd. ante Brunckium. Non integrum hunc versum esse intelligitur ex v. 997. ἔσει] ἔσῃ Laur.

V. 987. 988. Suidas in βόστρυχος et δονεῖται, qui τῶν σῶν omisit.

V. 989. 990. Suidas in ἄτοπίας et διαπαιόμενος.

V. 989. corruptus.

μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τόνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.

ΝΕΑΝΙΑΣ.

δεῦρο δή, δεῦρο δή
καὶ σύ μοι καταδραμοῦ-
σα τὴν θύραν, ἄνοιξον
τήνδ'· εἰ δὲ μή, κατάπεσὼν κείσομαι.
φίλον, ἀλλ' ἐν τῷ σῷ
βούλομαι κόλπῳ
πληκτίζεσθαι μετὰ τῆς σῆς πυγῆς.
Κύπρι, τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τήνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.
καὶ ταῦτα μέντοι μετρίως πρὸς τὴν ἐμὴν ἀνάγ-
κην
εἰρημέν' ἐστίν. σὺ δέ μοι φίλτατον, ὦ ἱκετεύω,
ἄνοιξον, ἀσπάζου με· διά τοι σὲ πόνους ἔχω.
ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ὄρνος,
μέλιττα Μούσης, Χαρίτων θρύμμα, τρυφῆς
πρόσωπον,

V. 991. *μέθες*] *μάθης* Laur.

V. 992. *πόησον* Laur. Monac. Iunt. prima.

V. 998.—1001. corrupti.

V. 998. *ἐν τῷ σῷ* libri scripti omnes et Iuntinae. *ἐν σῷ* Aldina.

V. 1000. *τῆς* delebat Bentleius.

V. 1005.—1007. = 1008.—1010.

V. 1005. *μέντοι* Ravennas. Legebatur *μέν μοι*.

V. 1006. Scribebatur *ἐ*.

V. 1007. Suidas in *ἀσπάζου*. *με* D. *τε* Monac. et edd. ante Brunckium: *με* libri omnes v. 1010.

V. 1008. *χρυσοδαίδαλτον* Ravennas, Laur. Iunt. prima et Suidas in *δαίδαλον* et *θρύψις*. *χρυσοδαίδαλμον* Ald. et Iunt. secunda.

V. 1009. *θρύμμα* Suidas in *θρύψις* et *χαρίτων*. Legebatur *θρέμμα*.

ἄνοιξον, ἀσπάζου με· διά τοι σὲ πόνους ἔχω.

ΓΡΑΥΣ Α.

οὗτος, τί κόπτεις; μῶν ἐμὲ ζητεῖς;

ΝΕΑΝΙΑΣ.

πόθεν;

ΓΡΑΥΣ Α.

καὶ τὴν θύραν γ' ἤραττες.

ΝΕΑΝΙΑΣ.

ἀποθάνοιμ' ἄρα.

ΓΡΑΥΣ Α.

τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας;

ΝΕΑΝΙΑΣ.

Ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον.

ΓΡΑΥΣ Α.

τίνα;

ΝΕΑΝΙΑΣ.

οὐ τὸν Σεβῖνον, ὃν σὺ προσδοκᾷς ἴσως.

ΓΡΑΥΣ Α.

νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ' ἤν τε μή.

ΝΕΑΝΙΑΣ.

ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις
εἰσάγομεν, ἀλλ' εἰσαῦθις ἀναβεβλήμεθα.
τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.

V. 1011. πόθεν] πόθος Laur. Iunt. prima.

V. 1013. τοῦ δαὶ Ravennas et Iunt. secunda. ποῦ δαὶ Aldina. ποῦ δὲ Laur. D et Iunt. prima.

V. 1015. οὐ τὸν Σεβῖνον Bentleius et Reisigius I. p. XIII. οὐ τὸν σὲ βινοῦνθ' Ravennas. αὐτὸν σεβινοῦνθ' (κινοῦνθ' Laur.) Aldina et Iuntinae. αὐτόν σε βινοῦνθ' Monac. αὐτήν σε κινοῦνθ' D. Vide Ranarum v. 427. Σεβῖνον, ὅστις ἐστὶν ἀναφλύστιος.

ΓΡΑΥΣ Α.

ἐπὶ τῆς προτέρας ἀρχῆς γε ταῦτ' ἦν ὦ γλύκιστον
νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.

ΝΕΑΝΙΑΣ.

τῷ βουλομένῳ γε, κατὰ τὸν ἐν πεττοῖς νόμον.

ΓΡΑΥΣ Α.

ἀλλ' οὐδὲ δειπνεῖς κατὰ τὸν ἐν πεττοῖς νόμον.

ΝΕΑΝΙΑΣ.

οὐκ οἶδ' ὅ τι λέγεις. τηνδεδί μοι κρουστέον.

ΓΡΑΥΣ Α.

ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν.

ΝΕΑΝΙΑΣ.

ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.

ΓΡΑΥΣ Α.

οἶδ' ὅτι φιλοῦμαι· νῦν δὲ θαυμάζεις ὅτι
θύρασί μ' εὗρες· ἀλλὰ πρόσαγε τὸ στόμα.

ΝΕΑΝΙΑΣ.

ἀλλ' ὦ μέλ' ὀρρωδῶ τὸν ἐραστήν σου.

ΓΡΑΥΣ Α.

τίνα;

V. 1020. πρότερόν D. γε om. Laur. Monac.

V. 1022. πεττοῖς D. πετοῖς Laur. παιτοῖς Ravennas, Monac. edd. ante Brunckium. Scholiastes: *Παίσοι ἔθνος μέν ἐστι Θρᾳκικόν· ἔπαιξε δὲ παιτὸν παίειν.*

V. 1023. om. Laur. et D. Hic quoque παιτοῖς edd. ante Brunckium. ἀλλ' οὐδ' ἐδείπνεις Bentleius.

V. 1024. τηνδεδί] Legebatur τήνδε δή. τὴν δέ δί Monac. Conf. annotationem ad Avium v. 18. In Antiphane Athen. VIII. p. 343 A. scribendum τύνδί Μάτρων συνήρπακε.

V. 1028. Θύρασι Laur. Monac. Θύρῃσι D. Scribebatur Θύρασισι. πρόσαγε Iunt. secunda. πρός γε Laur. Monac. Ald. Iunt. prima.

V. 1029. μέλ' Laur. et Brunckius. μελέ' edd. ante Brunckium. μιέλε' Monac.

ΝΕΑΝΙΑΣ.

τὸν τῶν γραφέων ἄριστον.

ΓΡΑΥΣ Α.

οὗτος δ' ἔστι τίς;

ΝΕΑΝΙΑΣ.

ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.
ἀλλ' ἄπιθ', ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.

ΓΡΑΥΣ Α.

οἰδ' οἰδ' ὅ τι βούλει.

ΝΕΑΝΙΑΣ.

καὶ γὰρ ἐγώ σε τὴν Δία.

ΓΡΑΥΣ Α.

μὰ τὴν Ἀφροδίτην, ἥ μ' ἔλαχε κληρουμένη,
μὴ 'γώ σ' ἀφήσω.

ΝΕΑΝΙΑΣ.

παραφρονεῖς ὦ γράδιον.

ΓΡΑΥΣ Α.

ληρεῖς· ἐγὼ δ' ἄξω σ' ἐπὶ τὰμὰ στρώματα.

ΝΕΑΝΙΑΣ.

τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν,
ἐξὸν καθέντα γράδιον τοιουτονὶ
ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;

ΓΡΑΥΣ Α.

μὴ σκῶπτέ μ' ὦ τάλαν, ἀλλ' ἔπου δεῦρ' ὡς ἐμέ.

V. 1031. Suidas in γραφεὺς et λήκυθος.

V. 1037.—1039. Suidas in ἐξὸν et κρεάγρα. v. 1037. Pollux X. 31.

V. 1037. ὠνήμεθ' Monac. ὠνούμεθ' Suidas in ἐξόν.

V. 1040. μὴ σκῶπτέ μ' ὦ τᾶν Nub. v. 1267. Br., qui locus probabilem reddit Bentleii coniecturam τάλαν in τᾶν mutantis.

ΝΕΑΝΙΑΣ.

ἀλλ᾽ οὐκ ἀνάγκη μοὐστὶν, εἰ μὴ τῶν ἐμῶν
τὴν πεντακοσιοστὴν κατέθηκας τῇ πόλει.

ΓΡΑΥΣ Α.

νὴ τὴν Ἀφροδίτην, δεῖ γε μέντοι σ᾽. ὡς ἐγὼ
τοῖς τηλικούτοις ξυγκαθεύδουσ᾽ ᾕδομαι.

ΝΕΑΝΙΑΣ.

ἐγὼ δὲ ταῖς γε τηλικαύταις ἄχθομαι,
κοὐκ ἂν πιθοίμην οὐδέποτ᾽.

ΓΡΑΥΣ Α.

ἀλλὰ νὴ Δία
ἀναγκάσει τουτί σε.

ΝΕΑΝΙΑΣ.

τοῦτο δ᾽ ἐστὶ τί;

ΓΡΑΥΣ Α.

ψήφισμα, καθ᾽ ὅ σε δεῖ βαδίζειν ὡς ἐμέ.

ΝΕΑΝΙΑΣ.

λέγ᾽ αὐτὸ τί ποτε κἄστι.

ΓΡΑΥΣ Α.

καὶ δή σοι λέγω.
ἐδοξε ταῖς γυναιξὶν, ἢν ἀνὴρ νέος
νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν, πρὶν ἂν
τὴν γραῦν προκρούσῃ πρῶτον· ἢν δὲ μὴ θέλῃ
πρότερον προκρούειν, ἀλλ᾽ ἐπιθυμῇ τῆς νέας,
ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
ἔλκειν ἀνατὶ λαβομένας τοῦ παττάλου.

V. 1043. *δεῖ γε μέντοι σ᾽* ὡς Reisigius I. p. 295. *δεῖ γε μέντοι* ὡς Ravennas et Laur. *δεῖ γε μέντοι γ᾽* ὡς Iuntinae. *δεῖ σε μέντοι γ᾽* ὡς Aldina. *δεῖ μέντοι* ὡς Monac.

V. 1045. *ἄχθομαι*] *ᾕδομαι* Laur.

V. 1046. *πιθοίμην* Laur.

V. 1048. *δεῖ* om. Laur.

V. 1055. *ἀνατὶ* Brunckius.

ΝΕΑΝΙΑΣ.

οἴμοι· Προκρούστης τήμερον γενήσομαι.

ΓΡΑΥΣ Α.

τοῖς γὰρ νόμοις τοῖς ἡμετέροισι πειστέον.

ΝΕΑΝΙΑΣ.

τί δ', ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
ἢ τῶν φίλων ἐλθών τις;

ΓΡΑΥΣ Α.

ἀλλ' οὐ κύριος
ὑπὲρ μέδιμνόν ἐστ' ἀνὴρ οὐδεὶς ἔτι.

ΝΕΑΝΙΑΣ.

ἐξωμοσία δ' οὐκ ἔστιν;

ΓΡΑΥΣ Α.

οὐ γὰρ δεῖ στροφῆς.

ΝΕΑΝΙΑΣ.

ἀλλ' ἔμπορος εἶναι σκήψομαι.

ΓΡΑΥΣ Α.

κλάων γε σύ.

ΝΕΑΝΙΑΣ.

τί δῆτα χρὴ δρᾶν;

ΓΡΑΥΣ Α.

δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.

V. 1056. σήμερον Laur.

V. 1057. τοῖς ἡμετέροις Laur.

V. 1058. ἀφαίρηται Ald. et Iuntinae (ἀφέρηται secunda). τί δ' ἢν ἀνὴρ ἀφαίρηταί με Laur.

V. 1059. ἐλθών τις Kusterus. ἐλθόν τις Iuntina prima. ἐλθόντες Monac. Ald. Iuntina secunda.

V. 1061. στροφῇ Laur.

V. 1062. κλάων γε σύ Ravennas. κλάγε σύ Laur. κλᾷς σύ (κλάε σύ Monac.) edd. ante Brunckium. κλαύσεις γε σύ D, ex quo Brunckius κλαύσει γε σὺ fecit.

ΝΕΑΝΙΑΣ.

καὶ ταῦτ' ἀνάγκη μοῦστί;

ΓΡΑΥΣ Α.

Διομήδειά γε.

ΝΕΑΝΙΑΣ.

ὑποστόρεσαί νυν πρῶτα τῆς ὀριγάνου,
καὶ κλήμαθ' ὑπόθου συγκλάσασα τέτταρα,
καὶ ταινίωσαι, καὶ παράθου τὰς ληκύθους,
ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.

ΓΡΑΥΣ Α.

ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.

ΝΕΑΝΙΑΣ.

νὴ τὸν Δί', ἥνπερ ἦ γέ που τῶν κειρῶν.
οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.

ΝΕΑΝΙΣ.

ποῖ τοῦτον ἕλκεις σύ;

ΓΡΑΥΣ Α.

τὸν ἐμαυτῆς εἰσάγω.

ΝΕΑΝΙΣ.

οὐ σωφρονοῦσά γ'. οὐ γὰρ ἡλικίαν ἔχει
παρὰ σοὶ καθεύδειν τηλικοῦτος ὤν· ἐπεὶ
μήτηρ ἂν αὐτῷ μᾶλλον εἴης ἢ γυνή.

V. 1065. ὑποστόρεσαι νῦν edd. ante Brunckium, τῆς ὀριγάνου] Etymol. M. p. 630, 49.

V. 1067. Suidas in λήκυθος.

V. 1068. Suidas in τοὔστρακον.

V. 1070. ἡμπερῇ Ravennas. ἦν περί Monac. Ald. et Iuntinae, hoc est ἥνπερ ᾖ. ἦν περιῇς Brunckius ex D. γε ποῦ edd. ante Brunckium. κειριῶν Reiskius. κηριῶν eodem sensu Schneiderus in lexico. κηρίων Monac. Ald. et Iuntina prima. κηρίνων Iunt. secunda et Brunckius.

V. 1072. σὺ om. Laur. Monac.

V. 1075. αὐτοῦ D.

ὥςτ᾽ εἰ καταστήσεσθε τοῦτον τὸν νόμον,
τὴν γῆν ἅπασαν Οἰδιπόδων ἐμπλήσετε.

ΓΡΑΥΣ Α.

ὦ παμβδελυρὰ, φθονοῦσα τόνδε τὸν λόγον
ἐξεῦρες· ἀλλ᾽ ἐγώ σε τιμωρήσομαι.

ΝΕΑΝΙΑΣ.

νὴ τὸν Δία τὸν σωτῆρα, κεχάρισαί γέ μοι
ὦ γλυκύτατον τὴν γραῦν ἀπαλλάξασά μου·
ὥςτ᾽ ἀντὶ τούτων τῶν ἀγαθῶν εἰς ἑσπέραν
μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.

ΓΡΑΥΣ Β.

αὕτη σύ, ποῖ παραβᾶσα τόνδε τὸν νόμον
ἔλκεις, παρ᾽ ἐμοὶ τῶν γραμμάτων εἰρηκότων
πρότερον καθεύδειν αὐτόν;

ΝΕΑΝΙΑΣ.

οἴμοι δείλαιος.
πόθεν ἐξέκυψας ὦ κάκιστ᾽ ἀπολουμένη;
τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον.

ΓΡΑΥΣ Β.

βάδιζε δεῦρο.

ΝΕΑΝΙΑΣ.

μηδαμῶς μὲ περιίδῃς
ἑλκόμενον ὑπὸ τῆσδ᾽, ἀντιβολῶ σ᾽.

ΓΡΑΥΣ Β.

ἀλλ᾽ οὐκ ἐγώ,
ἀλλ᾽ ὁ νόμος ἕλκει σ᾽.

V. 1078. παμβδέλυρα Ald. et Iuntinae. παμβδελύρα Kusterus. λόγον Faber. νόμον edd. ante Brunckium.

V. 1079. ἐξεῦρ᾽ Laur.

V. 1082. εἰς D. ἐς edd. ante Brunckium.

V. 1083. ταχεῖαν Laur. et Iuntina prima.

V. 1090. τῆς Ald. et Iuntinae. Correctum in Scaligeri excerptis. σ᾽] σε Laur.

V. 1091. σ᾽ add. D. σε Laur. et Iunt. prima: om. Ald. et Iunt. secunda.

ΝΕΑΝΙΑΣ.

οὐκ ἔμεγ', ἀλλ' ἔμπουσά τις
ἐξ αἵματος φλύκταιναν ἠμφιεσμένη.

ΓΡΑΥΣ Β.

ἔσου μαλακίων δεῦρ' ἀνύσας καὶ μὴ λάλει.

ΝΕΑΝΙΑΣ.

ἴθι νυν ἔασον εἰς ἄφοδον πρώτιστά με
ἐλθόντα θαρρῆσαι πρὸς ἐμαυτόν· εἰ δὲ μή,
αὐτοῦ τι δρῶντά πυρρὸν ὄψει μ' αὐτίκα
ὑπὸ τοῦ δέους.

ΓΡΑΥΣ Β.

θάρρει, βάδιζ'· ἔνδον χεσεῖ.

ΝΕΑΝΙΑΣ.

δέδοικα κἀγὼ μὴ πλέον ἢπερ βούλομαι.
ἀλλ' ἐγγυητάς σοι καταστήσω δύο
ἀξιόχρεως.

ΓΡΑΥΣ Β.

μή μοι καθίστη.

ΓΡΑΥΣ Γ.

ποῖ σὺ, ποῖ
χωρεῖς μετὰ ταύτης;

ΝΕΑΝΙΑΣ.

οὐκ ἔγωγ', ἀλλ' ἔλκομαι.

V. 1091. ἔμεγ'] ἔμ' D.

V. 1092. φλύκταιναν Laur. ἠμφιεσμένην Monac. Ald.

V. 1094. νῦν edd. ante Brunckium.

V. 1097. χεσοῖ Laur. Monac.

V. 1098. πλέον ἢπερ Porsonus ex scholiastae annotatione, μὴ πλέον τουτέστι μὴ πλέον μὲ ἀναγκάσῃς συνελθεῖν ἢπερ βούλομαι. πλέον ἢ edd. ante Brunckium, qui πλέον γ' ἢ ex Fabri correctione dedit.

V. 1100. ἀξιόχρεως D et Portus. ἀξιόρχρεως Ald. et Iuntinae.

V. 1101. μετὰ ταύτης, Ravennas. Legebatur μετ' αὐτῆς.

ἀτὰρ ἤτις εἶ γε, πόλλ' ἄγαθά γένοιτό σοι,
ὅτι μ' οὐ περιεῖδες ἐπιθριβέντ'. ὦ Ἡράκλεις,
ὦ Πᾶνες, ὦ Κορύβαντες, ὦ Διοσκόροιν,
τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον.
ἀτὰρ τί τὸ πρᾶγμ' ἔστ', ἀντιβολῶ, τουτί ποτε;
πότερον πίθηκος ἀνάπλεως ψιμυθίου,
ἢ γραῦς ἀνιστηκυῖα παρὰ τῶν πλειόνων;

ΓΡΑΥΣ Γ.

μὴ σκῶπτέ μ', ἀλλὰ δεῦρ' ἔπου.

ΓΡΑΥΣ Β.

δευρὶ μὲν οὖν.

ΓΡΑΥΣ Γ.

ὡς οὐκ ἀφήσω οὐδέποτέ σ'.

ΓΡΑΥΣ Β.

οὐδὲ μὴν ἐγώ.

ΝΕΑΝΙΑΣ.

διασπάσεσθέ μ'· ὦ κακῶς ἀπολούμεναι.

ΓΡΑΥΣ Β.

ἐμοὶ γὰρ ἀκολουθεῖν σ' ἔξεστι κατὰ τὸν νόμον.

ΓΡΑΥΣ Γ.

οὐκ, ἢν ἑτέρα γε γραῦς ἔτ' αἰσχίων φανῇ.

V. 1102. αὐτὰρ Laur. ἤτις] εἴ τις Laur. Ald. et Iuntinae. ἤτις ed. Brubachiana et aliae.

V. 1105. αὖ Iunt. secunda. ἂν Laur. Monac. Ald. et Iunt. secunda.

V. 1106. αὐτὰρ τί—ἐστὶν ἀντιβολῶ τουτί τί ποτε Laur., unde τουτί τί ποτε adscivit Iunt. prima.

V. 1108. πλειόνων libri scripti et Suidas in πλειόνων. νεκρῶν Ald. et Iuntinae. Idem error in scholiastae annotatione, παρὰ τῶν νεκρῶν: παρὰ τῶν πλειόνων.

V. 1110. οὐδέποτέ σ'] Legebatur σ' οὐδέποτε in Laur. Ald. et Iuntinis: recentiores edd. σ' οὐδέποτ'.

V. 1113. οὔκ] οὔκουν Laur. et Iunt. prima.

ΝΕΑΝΙΑΣ.

ἦν οὖν ὑφ᾽ ὑμῶν πρῶτον ἀπόλωμαι κακῶς,
φέρε, πῶς ἐπ᾽ ἐκείνην τὴν καλὴν ἀφίξομαι;

ΓΡΑΥΣ Γ.

αὐτὸς σκόπει σύ· τάδε δέ σοι ποιητέον.

ΝΕΑΝΙΑΣ.

ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ;

ΓΡΑΥΣ Β.

οὐχ οἶσθα; βαδιεῖ δεῦρ᾽.

ΝΕΑΝΙΑΣ.

ἀφέτω νύν μ᾽ αὐτήν.

ΓΡΑΥΣ Γ.

δευρὶ μὲν οὖν ἴθ᾽ ὡς ἔμ᾽.

ΝΕΑΝΙΑΣ.

ἦν ἡδί μ᾽ ἀφῇ.

ΓΡΑΥΣ Β.

ἀλλ᾽ οὐκ ἀφήσω μὰ Δία σ᾽.

ΓΡΑΥΣ Γ.

οὐδὲ μὴν ἐγώ.

ΝΕΑΝΙΑΣ.

χαλεπαί γ᾽ ἂν ἦτε γενόμεναι πορθμῆς.

ΓΡΑΥΣ Β.

τιή;

V. 1114. ἡμῶν Laur. Monac. Ald. Iuntinae. Correxit Portus.

V. 1117. καλέσας Laur. Iunt. prima.

V. 1118. νῦν edd. ante Brunckium.

V. 1119. ἦν γ᾽ ἡδί μ᾽ ἀφῇ Brunckius, quod deleta γ᾽ recepi. ἦν ἡδί γ᾽ ἀφῇ Ravennas. ἦν νὴ δία γ᾽ ἀφ᾽ Ald. Iunt. prima. ἦν νὴ δία γ᾽ ἀφῇ Monac. Iunt. secunda. ἦν μὰ δία μ᾽ ἀφῇ Q.

V. 1120. μὰ Laur. D. Iunt. prima. νὴ Ald. et Iunt. secunda.

V. 1121. 1122. Suidas in πορθμεῖς.

V. 1121. ἦτε Suidas. Scribebatur ἦστε. χαλεπαί γ᾽ ἢ στένομαι Laur., ex quo in Iunt. prima factum est χαλεπαί γ᾽ ἂν ἢ στενόμεναι. πορθμεῖς Suidas: πορθμεῖν MS. Oxon. τιή om. Laur. Monac.

ΝΕΑΝΙΑΣ.

ἥκοντε τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.

ΓΡΑΥΣ Β.

σιγῇ βάδιζε δεῦρο.

ΓΡΑΥΣ Γ.

μὰ Δί' ἀλλ' ὡς ἐμέ.

ΝΕΑΝΙΑΣ.

τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννώνου σαφῶς
ψήφισμα, βινεῖν δεῖ με διαλελημμένον.
πῶς οὖν δικώσπεῖν ἀμφοτέρας δυνήσομαι;

ΓΡΑΥΣ Β.

καλῶς, ἐπειδὰν καταφάγῃς βολβῶν χύτραν.

ΝΕΑΝΙΑΣ.

οἴμοι κακοδαίμων, ἐγγὺς ἤδη τῆς θύρας
ἑλκόμενος εἶμι.

ΓΡΑΥΣ Γ.

ἀλλ' οὐδὲν ἔσται σοι πλέον·
ξυνεισπεσοῦμαι γὰρ μετὰ σοῦ.

ΝΕΑΝΙΑΣ.

μὴ πρὸς θεῶν.
ἐνὶ γὰρ ξυνέχεσθαι κρεῖττον ἢ δυοῖν κακοῖν.

V. 1122. Ἥκοντες Laur. et Suidas. ἂν om. Suidas. ἐπεκναίετε Laur.

V. 1124. τὸ *καννώνου* Iunt. secunda. τὸ *κανόνου* Aldina. τὸ *καννόνου* Monac. τοῦ *κανόνου* Laur., quod dare voluit Iunt. prima, in qua τοῦ τὸ *κανόνου* excusum. τὸ *διαγόρου* D. κατὰ τοῦτο *Καινώνου Vet. vel Κανώπου.*" Scaligeri excerpta.

V. 1125. Suidas in *βινεῖν*.

V. 1127. Suidas in *βολβός*.

V. 1128. οἴμοι *κακοδαίμων τί πέπονθα ἐγγὺς* Laur. Iunt. prima. τῆς] *καὶ* Iunt. prima typothetae errore: nam Laur. τῆς.

V. 1129. *ἑλκόμενός εἰμι* edd. ante Brunckium, qui correxit ex D. σοι om. Aldina.

V. 1130. Scribebatur *ξυνεςπεσοῦμαι*. *ξυμπεσοῦμαι* Iunt. prima haud dubie ex Laur.

V. 1131. *ἐνὶ* Laur. Iunt. prima. *ἓν* Ald. et Iunt. secunda.

ΓΡΑΥΣ Γ.

νὴ τὴν Ἑκάτην, ἐάν τε βούλῃ γ᾽ ἤν τε μή.

ΝΕΑΝΙΑΣ.

ὦ τριςκακοδαίμων, εἰ γυναῖκα δεῖ σαπρὰν
βινεῖν ὅλην τὴν νύκτα καὶ τὴν ἡμέραν·
κἄπειτ᾽ ἐπειδὰν τῆςδ᾽ ἀπαλλαγῶ, πάλιν
Φρύνην ἔχουσαν λήκυθον πρὸς ταῖς γνάθοις.
ἆρ᾽ οὐ κακοδαίμων εἰμί; βαρυδαίμων μὲν οὖν
νὴ τὸν Δία τὸν σωτῆρ᾽ ἀνὴρ καὶ δυστυχής,
ὅστις τοιούτοις θηρίοις συννήξομαι.
ὅμως δ᾽ ἐάν τι πολλὰ πολλάκις πάθω
ὑπὸ ταῖνδε ταῖν καταλβάδοιν δεῦρ᾽ εἰςπλέων,
θάψαι μ᾽ ἐπ᾽ αὐτῷ τῷ στόματι τῆς εἰςβολῆς·
καὶ τὴν ἄνωθεν ἐπιπολῆς τοῦ σήματος
ζῶσαν καταπιττώσαντας, εἶτα τὼ πόδε
μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρὰ]
ἄνω πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δ᾽ ἐγώ,
αὐτή τέ μοι δέσποινα μακαριωτάτη,

V. 1132. ἐάν] ἤν Laur. Iunt. prima. γ᾽ om. Ald. et Iunt. secunda.

V. 1136. Suidas in Φρύνη. ἔχουσα Laur.

V. 1139. συνεῖξομαι Laur. Ald. et Iuntinae. συνεῦξομαι Monac. Emendavit Bisetus, qui ξυννήξομαι scripsit.

V. 1140. πολλὰ add. Ravennas et D: om. edd. ante Brunckium.

V. 1141. Scribebatur ἐςπλέων et ἐςβολῆς.

V. 1142. ἐπ᾽ αὐτῷ Ravennas. Legebatur ἐν αὐτῷ. ἐμαυτῷ Laur. Monac.

V. 1143. τὴν D. τῶν Ravennas, Monac. et edd. ante Brunckium.

V. 1144. καταπιττώσαντες Laur.

V. 1145. μολιβδοχοήσαντας Laur. μολυβδοχοήσαντος Monac.

V. 1146. ἄνω πιτιθεῖναι Laur.

V. 1148. αὕτη Monac. et edd. ante Brunckium. αὕτη τ᾽ ἐμὴ Berglerus. Mihi scribendum videtur αὐτή τε χὴ δέσποινα —.

ὑμεῖς θ᾽ ὅσαι παρέστατ᾽ ἐπὶ ταῖσιν θύραις,
οἱ γείτονές τε πάντες οἵ τε δημόται,
ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος,
ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν
ἀγαθοῖσιν ὦ Ζεῦ· πολὺ δ᾽ ὑπερπέπαικεν αὖ
τούτων ἁπάντων τὰ Θάσι᾽ ἀμφορείδια.
ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον·
τὰ δ᾽ ἄλλ᾽ ἀπανθήσαντα πάντ᾽ ἀπέπτετο·
ὥστ᾽ ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ᾽ ὦ θεοί.
κέρασον ἄκρατον, εὐφρανεῖ τὴν νύχθ᾽ ὅλην
ἐκλεγομένας ὅ τι ἂν μάλιστ᾽ ὀσμὴν ἔχῃ.
ἀλλ᾽ ὦ γυναῖκες φράσατέ μοι τὸν δεσπότην,
τὸν ἄνδρ᾽, ὅπου ᾽στὶ, τῆς ἐμῆς κεκτημένης.

ΧΟΡΟΣ.

αὐτοῦ μένουσ᾽ ἡμῖν γ᾽ ἂν ἐξευρεῖν δοκεῖς.

V. 1149. Legebatur ὑμεῖς δ᾽. πάρεστ᾽ Laur. Monac. D. Ald. Iunt. prima. παρέστατ᾽ Ravennas, Iunt. secunda. ταῖς edd. veteres. Correctum ex Ravennate et D.

V. 1150. οἱ γειτονές θ᾽ ἅπαντες D. οἱ γειτονες πάντες Laur. Monac. οἵ τε δημόται Brunckius. Libri οἱ τῶν δημοτῶν.

V. 1152.—1156. Suidas in ἀπανθήσαντα et μεμύρωμαι.

V. 1152. μύρωμαι Laur. μεμύρωμαι Suidas: μεμύρισμαι Athenaeus XV. p. 691. B.

V. 1153. ὑπερπέπαικε νῦν αὐτῶν ἁπάντων D. ὑπερπέπαικεν αὖ τῶν omisso ἁπάντων Suidas in μεμύρωμαι.

V. 1154. Suidas in μεμύρωμαι. τούτων] τῶν Laur. ἀμφορίδια Pollux X. 72., qui Θάσια ἀμφορίδια per errorem ex Acharnensibus memorat: ἀμφορείδια Suidas, qui ἀμφορίδια ex h. l. sumsisse videtur in ἀμφορεαφόρους.

V. 1156. ἀπανθήσασα Monac. Ald. et Iuntinae. ἀπανθήσαντα Suidas et edd. inde ab Porto. ἀπέπτετο Ravennas ut videtur. Scribebatur ἀπέπτατο.

V. 1157. πολὺ δὴ β. Monac. et edd. ante Portum.

V. 1158. ἄκατον Laur. Monac.

V. 1159. ἐκλεγομένη D. ἔχῃ] ἔχοι Laur. D. ἔχει Ravennas.

V. 1160. μου Laur.

V. 1162. αὐτοῦ μένουσ᾽] αὐτομένης Laur. γ᾽ ἂν Brunckius. Libri omnes γὰρ.

ΘΕΡΑΠΑΙΝΑ.

μάλισθ᾽· ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
ὦ δέσποτ᾽, ὦ μακάριε καὶ τρισόλβιε.

ΔΕΣΠΟΤΗΣ.

ἐγώ;

ΘΕΡΑΠΑΙΝΑ.

σὺ μέντοι νὴ Δί᾽ ὥς γ᾽ οὐδεὶς ἀνήρ·
τίς γὰρ γένοιτ᾽ ἂν μᾶλλον ὀλβιώτερος,
ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων
ὄντων τὸ πλῆθος οὐ δεδείπνηκας μόνος;

ΧΟΡΟΣ.

εὐδαιμονικόν γ᾽ ἄνθρωπον εἴρηκας σαφῶς.

ΘΕΡΑΠΑΙΝΑ.

ποῖ ποῖ βαδίζεις;

ΔΕΣΠΟΤΗΣ.

ἐπὶ τὸ δεῖπνον ἔρχομαι.

ΘΕΡΑΠΑΙΝΑ.

νὴ τὴν Ἀφροδίτην, πολύ γ᾽ ἁπάντων ὕστατος.
ὅμως δ᾽ ἐκέλευε συλλαβοῦσάν μ᾽ ἡ γυνὴ
ἄγειν σε καὶ ταχδὶ μετὰ σοῦ τὰς μείρακας.
οἶνος δὲ Χῖος ἐστι περιλελειμμένος
καὶ τἄλλ᾽ ἀγαθά. πρὸς ταῦτα μὴ βραδύνετε,
καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
καὶ τῶν κριτῶν εἰ μή τις ἐτέρωσε βλέπει,
ἴτω μεθ᾽ ἡμῶν· πάντα γὰρ παρέξομεν.
οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς

V. 1166. τὶ Monac. Ald. Iuntina secunda.

V. 1170. In hunc versum desinunt Latr. et D.

V. 1173. τὰς δὴ Monac.

V. 1174. παραλελειμμένος Ravennas et Iuntina secunda. παρατεθειμένος Reiskius.

V. 1177. βλέπη Monac. et edd. ante Kusterum.

V. 1179. Scribebatur οὐκοῦν.

καὶ μὴ παραλείψεις μηδέν᾽; ἀλλ᾽ ἐλευθέρως
καλεῖν γέροντα, μειράκιον, παιδίσκον· ὡς
τὸ δεῖπνον αὐτοῖς ἔστ᾽ ἐπεσκευασμένον
ἀπαξάπασιν, ἣν ἀπίωσιν οἴκαδε.

ΧΟΡΟΣ.

ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη πείξομαι,
ἔχω δέ τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
τί δῆτα διατρίβεις ἔχων, ἀλλ᾽ οὐκ ἄγεις
ταχδὶ λαβών; ἐν ὅσῳ δὲ καταβαίνεις, ἐγὼ
ἐπάσομαι μέλος τι μελλοδειπνικόν.
σμικρὸν δ᾽ ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι·
τοῖς σοφοῖς μὲν, τῶν σοφῶν μεμνημένοις κρίνειν ἐμέ.
τοῖς γελῶσι δ᾽ ἡδέως, διὰ τὸν γέλων κρίνειν ἐμέ·
σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ.
μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον,
ὅτι προείληχ᾽· ἀλλ᾽ ἅπαντα ταῦτα χρὴ μεμνημένους
μὴ πιορκεῖν, ἀλλὰ κρίνειν τοὺς χορεύς ὀρθῶς ἀεί·
μηδὲ ταῖς κακαῖς ἑταίραις τὸν τρόπον προσεικέναι,
αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί.
ὦ ὦ ὥρα δὴ,
ὦ φίλαι γυναῖκες, εἴπερ μέλλομεν τὸ χρῆμα δρᾶν,

V. 1180. *παραλείψῃς* Ravennas et edd. ante Brunckium. *Correxit* Brunckius. *μηδὲν* Monac. et edd. ante Kusterum.

V. 1184. Chori personae nota abest ab Ald. et Iuntinis.

V. 1185. *ἔχω δέ τοι* Ravennas. Legebatur *ἔχουσά τοι*.

V. 1188. *μελλοδειπνικὸν* Bisetus. *μελοδειπνικὸν* edd. ante Kusterum et Suidas in *μέλος* (*μέλλος* MS. Oxon.).

V. 1189. *ὑπερθέσθαι* Laur.

V. 1190. *σοφοῖς*] *σοφοῖσι* Ald. et Iuntinae. *μεμνημένοις* Ravennas. Legebatur *μεμνημένους*. *μεμνημένος* Monac.

V. 1191. *διὰ τὸ γελᾶν* Porsonus praefat. ad Hecub. p. L. cui praestare videtur Reisigii coniectura *διὰ τὸ γελῶν* I. p. 143.

V. 1196. *τὸν τρόπον* Brunckius. *τόν γε τρόπον* edd. ante Brunckium. *τόν τε τρόπον* Ravennas.

V. 1198. *ὦ ὦ — κίνει*] Haec hemichorio tribuit Ravennas.

V. 1199. Aberat *ὦ*, relate ad praecedentem versum *φίλαι*.

ἐπὶ τὸ δεῖπνον ὑπανακινεῖν. Κρητικῶς οὖν τὼ πόδε
καὶ σὺ κίνει.

ΗΜΙΧΟΡΙΟΝ.

τοῦτο δρῶ.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ τάςδε νῦν λαγαρὰς
τοῖν σκελίσκοιν τὸν ῥυθμόν. τάχα γὰρ ἔπεισι
λοπαδοτεμαχοσελαχογαλεο-
κρανιολειψανοδριμυποτριμματο-
σιλφιοπαραομελιτοκατακεχυμενο-
κιχλεπικοσσυφοφαττοπεριστερα-
λεκτρυονοπτεγκεφαλλιοκιγκλοπε-
λειολαγωοσιραιοβαφητραγανοπτερύγων.
σὺ δὲ ταῦτ᾽ ἀκροασάμενος
ταχὺ καὶ ταχέως λαβὲ τρυβλίον.

V. 1200. ὑπανακινεῖν κρητικῶς τὼ πόδε Suidas in κρητικός. ὑπανακίνει κρητικὼ τὼ πόδε. τάχα γὰρ ἔπεισι λοπαδοτεμμαχοσελαχογαλεοκρά idem in μέλος.

V. 1201. 1202. Haec mutila videntur.

V. 1204. Eustathius p. 1277, 48. ab Brunckio indicatus; εὕρηται παρὰ τῷ κωμικῷ χωρίον ἔν τινι ἀσυνήθει κωμῳδίᾳ οὕτω συχνοσύνθετον, ὥςτε ὁ καταρξάμενος αὐτὸ ἀναγνῶναι ἢ οὐ διίξεται τὸ πᾶν ἀπνευστὶ, ἢ ἀλλὰ πνευστιῶν αὐτοῦ ἀπαλλαγήσεται. λοπαδο libri omnes et Suidas. λεπαδο Faber et Brunckius.

V. 1205. υποτριμματο Iuntina secunda et Ravennas. υποτιτριμματο Monac. Ald. et Iunt. prima.

V. 1206. παραο] πρασο?

V. 1207. κινκλεπικοσσυφοπε — edd. ante Kusterum. κιγκλ — πε — Kusterus. κιχλεπικοσσυφοπε — Faber et Brunckius. κινκλεπικοσσυκοφαττοπε — Ravennas: unde facile fuit veram restituere scripturam. κιγκλεπικοσσυφαοπερισσερὰ Monac.

V. 1208. εγκε Ravennas. Legebatur εκε. φαλλιο] Imo φαλιο.

V. 1211. ταχὺ καὶ delenda videntur. τρύβλιον edd. veteres. τρίβλιον Monac.